# Apollodori bibliothecae fragmenta Sabbaitica.

Quae editurus sum Apollodorea inveni anno 1887 Hierosolymis, quam in urbem migraveram evocatus Constantinopoli ut ab secretis essem obtinenti ibi ss. sedem patriarchicam apostolicamque patriarchae Nicodemo I, qui praeter cetera bene facta etiam philologos maxime demeruit congerendo in unum locum thesauros litterarum invisos et inaccessos unamque constituendo bibliothecam patriarchei orthodoxi catholici Hierosolymitani. congerendi dinumerandi ordinandi curam mihi demandaverat coeperamque a paupercula ad id tempus bibliotheca patriarchica, in qua praeter typographos libros etiam centum aliquot codices negligenter confuseque servabantur. postquam autem opus aggressus sum, patriarcha eodem tempore conquiri eodemque loco componi ceteros quoque codices iussit dispersos atque indecenter adservatos in monasteriis suae sedis. itaque brevi vetus corpus patriarchicum auxit produxitque ad numerum DCXLIV et pluteis separatis reposuit corpora translata ex laura s. Sabbae et monasterio venerabilis Crucis. congesti igitur sunt codices graeci MCCCCLX, arabici et turcici CLXXVII, iberici (georgiani) CXLIII, syriaci L, slavici XXII, aethiopici XIX. sic beatissimus Nicodemus a me adiutus et constituit celeriter ψυχῆς ἰατρεῖον et advenientibus Hierosolyma studiorum causa hominibus communiter patefecit, neque ordo nitor numeri indicia nunc desiderantur, licet parvum aedificium et obsoletum habeatur. sapientissimus enim patriarcha etiam aedes concinnas parare semper cogitabat et in quas item DCCC ex CPolitana urbe codices graecos Hierosolymitanos posset congerere et item priscas sanctorum imagines aliaque antiquitatis monumenta, ac perfectum iam esset aedificii consilium, nisi morbus gravis eum coegisset sua relicta sede corporis curandi gratia Constantinopoli quiescere. nec vero satis habuit pa-

triarcha bibliothecam ordinasse, sed volebat etiam vivens videre catalogum graecorum codicum confectum subtilissime, quin etiam ineditorum scriptorum quae me aliosque delectarent spicilegium. ultra biennium igitur dies noctesque laboravi ut voluntati eius obsequerer, atque absolvi laborem, quamquam variae vicissitudines in publicum emitti adhuc prohibuere. nunc tamen et catalogus et spicilegium et aliae disputationes meae prelis traduntur. unde haec quoque subnata est editio ignotarum Apollodori bibliothecae reliquiarum, quas in codice repperi theologo corporis s. Sabbae. qui codex in catalogo meo signatus numero CCCLXVI incipit ab inedita et memorabili sed lacunosa vita Constantini M. et Helenae matris eius, desinit in eclogas has: λόγοι δογματικοὶ διαφόρων πατέρων περὶ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου. ex hoc codice iam exprimendos mandavi typothetis λόγον τοῦ μεγάλου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ ἐκδοθέντα παρ' αὐτοῦ πρὸς Ἀρμενίους δοξάζοντας κακῶς μίαν φύσιν ἐπὶ Χριστοῦ et sermonem s. abbatis Marci eremitae ignotum illum quidem Photio, tamen in Sabbaitico codice ceteris quae Photius novit scriptis adiunctum, cui hic titulus est: τοῦ αὐτοῦ Μάρκου πρὸς τοὺς λέγοντας μὴ ἡνῶσθαι τὴν ἁγίαν σάρκα τοῦ Κυρίου μετὰ τοῦ λόγου ἀλλ' ὡς ἱμάτιον μονομερῶς περικεῖσθαι καὶ διὰ τοῦτο ἄλλως μὲν ἔχει(ν) περὶ τὸν φοροῦντα ἄλλως δὲ περὶ τὸν φορούμενον, ἤγουν τὰ Νεστορίου φρονοῦντας.

Constat codex 254 foliis chartae bombycinae formae octonariae quam dicunt maioris. a folio 22 b ad 245 b numeri notati sunt paginarum saeculo ut videtur XVI (pp. 1—477), ipse autem codex a variis vel potius duobus antiquariis confectus est ineunte aut medio saeculo XIII. Apollodorea ea quae nunc integra et cum titulis proponuntur deprehendi in foliis 114 a—125 b. nomen Apollodori nusquam comparet, scriptura pura et accurata est, quae in adnotatione subieci vitia primario codici magis adsignanda sunt quam Sabbaitici voluminis scribae, id quod nomina propria docent multifariam depravata, quae interdum quoad potui ipse correxi [1].

Sabbaiticus hic Apollodorus cum multas moveat quaestiones futura meditatione expediendas, interim satis habeo pertulisse eum omnium in notitiam. primum caput magnum quod inscriptum est γένεσις τῆς Ἑλένης ἐν ἐπιτομῇ καὶ ἁρπαγὴ καὶ ἅλωσις τῆς Τροίας incipit ab editionum Apollod. libri III capite 10 § 7 pergitque ad capitis 11 § 1, tum subtexitur excerptio maxima con-

[1] his uncis [ ] inclusa proposuit v. cl. F. Buecheler.

tinens raptum Helenae, navium catalogum, bellum Troianum et excidium urbis, errores Vlixis atque reditum in patriam, novum procorum Penelopae catalogum, Vlixis discessum ad Thesprotos mortemque et cetera. ordo igitur rerum revocat nobis in mentem Photii verba testantis de libello Apollodori cod. 186: κάτεισι μέχρι τῶν Τρωικῶν καὶ ἀνδρῶν τινων πρὸς ἀλλήλους μάχας καὶ ἔργα ἐπιτρέχον καὶ τῶν ἀπὸ Τροίας πλάνας τινάς, μάλιστα δ' Ὀδυσσέως εἰς ὃν αὐτῷ καὶ ἡ ἀρχαιολογία καταλήγει. nam quae edo plenissime confirmant Photii complexionem, hoc tamen non confirmant quod in errores Vlixis desiisse libellum ille ait, si quidem in Sabbaitico volumine Odysseam excipiunt Minotauri historia et aliorum series capitum finita rebus Zethi et Amphionis. verum enim vero Sabbaiticum qui conscripsit aut primarium codicem, is praepostere Apollodori invertendo ordinem τὰ ὕστερα πρότερα exposuit. Apollodoream enim originem declarant primum dilucida sermonis similitudo, deinde Photii summarium congruensque rerum ordo, tertium ipsius verba Apollodori qui I 3, 4 de Sirenibus se ἐν τοῖς περὶ Ὀδυσσέως dicturum profitetur, hic autem agi de Sirenibus nominatim videmus in Odyssea fol. 120 b, quem locum fortasse etiam Tzetzae respexerunt schol. Lycophr. p. 754: τὰς Σειρῆνας λέγει (Λυκόφρων) Παρθενόπην Λευκωσίαν καὶ Λίγειαν· ἄλλοι δ' ἄλλως καλοῦσι ταύτας, Πεισινόην Ἀγλαόπην Θελξιέπειαν, nam haec hic nomina feruntur. denique etiam ad Vaticana illa excerpta provocare licet quae R. Wagner repperit tractavitque in hoc Museo 1886 p. 147 s. at siquis excurret in campos scholiastarum lexigraphorum rhetorum, ubique horum frustula inveniet sine nomine quidem adposita et mutata circumloquendo aut decurtando, tamen reapse congruentia quocunque modo. unum exhibebo exemplum:

| Codex Sabbait. | Tzetzarum schol. in Lycophr. p. 599 s. |
|---|---|
| Ἀμφίλοχος δὲ καὶ Κάλχας καὶ Λεοντεὺς ἐν Ἰλίῳ τὰς ναῦς ἀπολιπόντες ἐπὶ Κολοφῶνα πεζῇ πορεύονται, κἀκεῖ θάπτουσι Κάλχαντα τὸν μάντιν. ἦν γὰρ αὐτῷ λόγιον τελευτήσειν ἐὰν ἑαυτοῦ σοφωτέρῳ περιτύχῃ μάν- | Κάλχας ᾧ χρησμὸς ἐδόθη ὅτι τότε θνήξεται ὅτε κρείττονι ἐντύχοι μάντει . . . Ἀμφίλοχος, Λεοντεὺς [Ποδαλείριος, Πολυποίτης] ἐν Ἰλίῳ λιπόντες τὰς ναῦς αὐτῶν εἰς Κολοφῶνα πεζῇ πορεύονται, κἀκεῖ θάπτουσι Κάλχαντα. ὑποδεχθέντων γὰρ παρὰ Μόψῳ τῷ μάντει υἱῷ Ἀπόλλωνος καὶ Μαντοῦς [καὶ Κάλχαντος] καὶ αὐ- |

τει. ὑποδεχθέντος οὖν ὑπὸ Μόψου μάντεως, ὃς Ἀπόλλωνος καὶ Μαντοῦς παῖς ὑπῆρχεν — οὗτος ὁ Μόψος περὶ μαντικῆς ἤρισε Κάλχαντι — καὶ Κάλχαντος ἀνακρίναντος ἐρινεοῦ ἑστώσης "πόσα ἔχει", τοῦ δὲ εἰπόντος "μύρια καὶ μέτρῳ μέδιμνον καὶ ἓν περισσὸν" καταστήσας Κάλχας μυριάδα εὗρε καὶ μέδιμνον καὶ ἓν πλεονάζον, κατὰ τὴν τοῦ Μόψου πρόρρησιν. Μόψος δὲ συὸς οὔσης ἐπιτόκου ἠρώτα Κάλχαντα "πόσους χοίρους κατὰ γαστρὸς εἶναι;" τοῦ δὲ εἰπόντος "ὀκτὼ" μειδιάσας ὁ Μόψος ἔφη "Κάλχας τῆς ἀκριβοῦς μαντείας ἀπεναντίας διάκειται, ἐγὼ δ' Ἀπόλλωνος καὶ Μαντοῦς παῖς ὑπάρχων τῆς ἀκριβοῦς μαντείας τὴν ὀξυδερκίαν πάντως πλουτῶ καὶ οὐχ ὡς ὁ Κάλχας ὀκτὼ ἀλλ' ἐννέα κατὰ γαστρὸς καὶ τούτους ἄρρενας ὅλους ἔχειν μαντεύομαι, καὶ αὔριον ἀνυπερθέτως ἐν ἕκτῃ ὥρᾳ τεχθήσεσθαι". τούτων γοῦν γενομένων Κάλχας ἀθυμήσας ἀπέθανε καὶ ἐτάφη ἐν Νοτίῳ.

τοῦ φιλονεικήσαντος διὰ μαντείαν συκῆς ἀγρίας ἑστώσης ἤρετο Κάλχας τὸν Μόψον πόσους ὀλύνθους ἡ συκῆ φέρει; ὁ δὲ Μόψος "μυρίους" ἔφη "καὶ μέδιμνον καὶ ἕνα ὄλυνθον περισσόν". καὶ μετρήσαντες εὗρον οὕτω. Μόψος δὲ ἠρώτησε Κάλχαντα περὶ συὸς ἐπιτόκου ἑστώσης "πόσα κατὰ γαστρὸς ἔχει καὶ πότε τέκῃ;" τοῦ δὲ μηδὲν εἰπόντος αὐτὸς εἶπε δέκα χοίρους ἔχειν, ὧν ὁ εἷς ἄρρην, τέξεται δὲ αὔριον. ὧν γενομένων καὶ τὸν χρησμὸν ὁ Κάλχας συνεὶς ἀθυμήσας τελευτᾷ.

ibidem p. 896.

Μετὰ γὰρ τὴν Ἰλίου πόρθησιν Κάλχας Λεοντεὺς Πολυποίτης καὶ Ποδαλείριος ἐν Ἰλίῳ τὰς αὐτῶν ναῦς ἀπολιπόντες πεζῇ πορεύονται εἰς [Κιλικίαν? καὶ] Κολοφῶνα καὶ καταντῶσι περὶ τούτῳ τῷ Μόψῳ, ὅπου καὶ ἡττηθέντα μαντικῇ τὸν Κάλχαντα θάπτουσι. ἐρινεοῦ γὰρ κἀκεῖ ἑστώσης Κάλχας τῷ Μόψῳ εἶπε "πόσους ὀλύνθους ἔχει;" ὁ δὲ ὥςπερ εἶχε τὸ ἀληθὲς εἶπε "μυρίους ὀλύνθους ἔχει καὶ μέδιμνον ἕνα". Μόψος δὲ συὸς ἐπὶ τόκῳ ἑστώσης ἤρετο "πόσους χοίρους ἔχει κατὰ γαστρὸς καὶ πότε τέξεται;" Κάλχαντος δὲ μὴ ἀποκριναμένου αὐτὸς ὁ Μόψος πάλιν εἶπε "δέκα χοίρους ἔχει, ὧν ὁ εἷς ἄρρην, τέξεται δὲ κατὰ τὴν αὔριον". οὗ γενομένου Κάλχας ἀθυμήσας τελευτᾷ.

Tzetzae priore loco variant scribuntque ἐν Ἰλίῳ λιπόντες, posteriore inmutatum relinquunt ἀπολιπόντες, eidem ἐρινεὸν primum

circumloquendo deinde ipso vocabulo designant. moleste vero apud Tzetzas tacitus inducitur Calchas de sue et interserti Polypoetes Podaliriusque vates, ut manco eos aut pravo exemplari usos esse conicias aut etiam alius fabulatoris copiolis secundariis.

Alterum fragmentum ineditum quod in codice extat fol. 122b et 123a, pariter Apollodorei libri aliquam lacunam explet. nam cum scriptor III 1, 4 de Minotauro et Androgeo et Phaedra et Ariadne se post dicturum ἐν τοῖς περὶ Θησέως indicarit, ad Minotaurum et Androgeon quae pertinet particulam iam tenebamus, ignotam autem de Phaedra et Ariadne nunc ego ceteris subiungo. repetenda autem cetera quoque capita integra censui tum propter scripturae differentias tum ad instaurationem libri Apollodorei tertii, cuius hoc in Palaestina mihi destinatum erat invenire supplementum.

|| Γένεσις τῆς Ἑλένης ἐν ἐπιτομῇ f. (pa
καὶ ἁρπαγὴ καὶ ἅλωσις τῆς Τροίας. tiq.

Λέγεται ὡς τὴν Ἑλένην οὖσαν τοῦ Διὸς θυγατέρα ἐκ Λήδας, ὡς κατὰ τὴν αὐτὴν νύκτα τῆς τοῦ συνουσιασμοῦ Λήδας γεννηθῆναι Πολυδεύκην καὶ Ἑλένην. ἔνιοι δὲ λέγουσι Νεμέσεως || Ἑλένην εἶναι καὶ Διός· ταύτην γὰρ τὴν Διὸς φεύγουσαν συνουσίαν εἰς χῆνα τὴν μορφὴν μεταβαλεῖν, ὁμοιωθέντα δὲ καὶ Δία τῷ κύκνῳ συνελθεῖν, τὴν δὲ ᾠὸν ἐκ τῆς συνουσίας ἀποτεκεῖν. τοῦτο δὲ ἐν τοῖς ἄλσεσιν εὑρόντα τινὰ ποιμένα Λήδᾳ κομίσαντα δοῦναι, τὴν δὲ καταθεμένην εἰς λάρνακα φυλάσσειν καὶ χρόνῳ καθήκοντι γεννηθεῖσαν Ἑλένην ὡς ἐξ αὐτῆς θυγατρὸς τρέφειν. γενομένην δὲ αὐτὴν κάλλει διαπρεπῆ Θησεὺς ἁρπάσας εἰς Ἀφίδνας ἐκόμισε. Πολυδεύκης δὲ καὶ Κάστωρ¹ εἰς Ἀφίδνας ἐπιστρατεύσαντες ἐν Ἅιδου Θησέως ὄντος αἱροῦσ τὴν πόλιν καὶ τὴν Ἑλένην λαμβάνουσι καὶ τὴν Θησέως μητέρα Αἴθραν ἄγουσιν αἰχμάλωτον. παρεγένοντο δὲ εἰς Σπάρτην ἐπὶ τὸν Ἑλένης γάμον οἱ βασιλεύοντες Ἑλλάδος. ἦσαν δὲ οἱ μνηστευόμενοι οἵδε· Ὀδυσσεὺς Λαέρτου, Διομήδης Τυδέως, Ἀντίλοχος Νέστορος, Ἀγαπήνωρ Ἀγκαίου, Σθένελος Καπανέως,

f.

1 cod. ἑλένης, item deinceps 3 Apollod. III 10, 7 [initium decurtatum et corruptum] 4 ὡς] καὶ conieci | [requiritur τῆς Τυνδάρεω συνουσίας] 5 ed. λέγουσι δὲ ἔνιοι 7 cod. σχῆνα 9 cod. ἄλσεσιν 11 cod. αὐτῆς | ed. θυγατέρα 14 cod. αἱροῦσι 18 cod. ὀδυσσεὺς | cod. τυδέος per compendium clausulae.

Ἀμφίλοχος Κτεάτου, Θάλπιος Εὐρύτου καὶ ἕτεροι δώδεκα. τούτων ὁρῶν τὸ πλῆθος Τυνδάρεως ἐδεδοίκει μὴ κριθέντος ἑνὸς στασιάσωσιν οἱ λοιποί. ὑποσχομένου δὲ Ὀδυσσέως ἐὰν συλλάβηται πρὸς τὸν Πηνελόπης αὐτῷ γάμον ὑποθήσεσθαι τρόπον τινά, δι' οὗ μηδεμία γενήσεται στάσις, ὡς ὑπέσχετο αὐτῷ συλλήψεσθαι ὁ Τυνδάρεως, πάντας εἶπεν ἐξορκίσαι τοὺς μνηστῆρας βοηθήσειν, ἐὰν ὁ προκριθεὶς νυμφίος ὑπὸ ἄλλου τινὸς ἀδικῆται περὶ τὸν γάμον. ἀκούσας δὲ τοῦτο Τυνδάρεως τοὺς μνηστῆρας ἐξορκίζει καὶ Μενέλαον μὲν * * * (Μενέλαος μὲν) οὖν ἐξ Ἑλένης Ἑρμιόνην ἐγέννησε, Ἀγαμέμνων δὲ βασιλεύει Μυκηναίων καὶ γαμεῖ Τυνδάρεω θυγατέρα Κλυταιμνήστραν, τὸν πρότερον αὐτῆς ἄνδρα Τάνταλον Θυέστου σὺν τῷ παιδὶ κτείναντος, καὶ γίνεται αὐτῷ παῖς μὲν Ὀρέστης, θυγατέρες δὲ Χρυσόθεμις Ἠλέκτρα Ἰφιγένεια. Μενέλαος δὲ Ἑλένην γαμεῖ καὶ βασιλεύει Σπάρτης, Τυνδάρεω τὴν βασιλείαν δόντος αὐτῷ. αὖθις δὲ Ἑλένην Ἀλέξανδρος ἁρπάζει ὥς τινες λέγουσι κατὰ βούλησιν Διός, ἵνα Εὐρώπης καὶ Ἀσίας εἰς πόλεμον ἐλθούσης ἡ θυγάτηρ αὐτοῦ ἔνδοξος γένηται, ἢ καθάπερ εἶπον ἄλλοι ὅπως τὸ τῶν ἡμιθέων γένος ἀρθῇ· διὰ δὴ τούτων μίαν αἰτίαν μῆλον περὶ κάλλους Ἔρις ἐμβάλλει Ἥρᾳ καὶ Ἀθηνᾷ καὶ Ἀφροδίτῃ καὶ κελεύει Ἑρμῆν εἰς Ἴδην πρὸς Ἀλέξανδρον ἄγειν, ἵνα ὑπ' ἐκείνου διακριθῶσιν. αἳ δὲ ἐπαγγέλλονται δῶρα δώσειν Ἀλεξάνδρῳ. Ἥρα μὲν οὖν ἔφη προκριθεῖσα δώσειν αὐτῷ πάντων βασιλείαν, Ἀθηνᾶ δὲ πολέμου νίκην, Ἀφροδίτη δὲ γάμον Ἑλένης. Ἀφροδίτην δὲ προκρίνας πηξαμένου ναῦς Φερέκλου πλεύσας εἰς Σπάρτην ἐπὶ ἐννέα ἡμέρας ξενίζεται παρὰ Μενελάου. τῇ δεκάτῃ δὲ πορευθέντος εἰς Κρήτην ἐκείνου κηδεῦσαι τὸν μητροπάτορα Κατρέα, πείθει τὴν Ἑλένην ἀπαγαγεῖν σὺν ἑαυτῷ· ἣ δὲ ἐνναέτη Ἑρμιόνην καταλιποῦσα, ἐνθεμένη τὰ πλεῖστα τῶν χρημάτων, ἀνάγεται τῆς νυκτὸς σὺν αὐτῷ. Ἥρα δὲ ἐπιπέμπει χειμῶνα πολὺν αὐτοῖς, ὑφ' οὗ βιασθέντες προσίσχουσι Σιδῶνι. εὐλαβούμενος
5b δὲ || Ἀλέξανδρος μὴ διωχθῇ, πολὺν διέτριψε χρόνον ἐν Φοινίκῃ καὶ Κύπρῳ. ὡς δὲ ἀπήλπισε τὴν δίωξιν, ἧκεν εἰς Τροίαν μετὰ Ἑλένης. ἔνιοι δέ φασιν Ἑλένην μὲν ὑπὸ Ἑρμοῦ κατὰ βούλησιν Διὸς κομισθῆναι καταπεισθεῖσαν εἰς Αἴγυπτον καὶ δοθεῖσαν

1 ed. Ἀμφίμαχος: cod. Ἀμφίλοχος 3 ed. τοῦ Ὀδυσσέως 9 cod. καὶ Μενέλαον μὲν οὖν ἐξ κτλ. 10 hinc usque ad p. 181 pars inedita 19 post μίαν lacunam esse suspicor, ἔριν antehac conieci. [contracta haec sunt. sic deest infra Ζεὺς κελεύει. Proclus Ἔρις νεῖκος π. κάλλους ἐνίστησιν] 22 αἳ] cod. οἱ 26 [Μενελάῳ?] 35 cod. φασὶν 36 καταπεισθεῖσαν?] cod. κατὰ πεῖσαν [puto κλαπεῖσαν]

Πρωτεῖ τῷ βασιλεῖ τῶν Αἰγυπτίων φυλάττειν, Ἀλέξανδρον δὲ παραγενέσθαι εἰς Τροίαν πεποιημένον ἐκ νεφῶν εἴδωλον Ἑλένης ἔχοντα. Μενέλαος δὲ αἰσθόμενος τὴν ἁρπαγὴν ἧκεν εἰς Μυκήνας πρὸς Ἀγαμέμνονα καὶ δεῖται στρατείαν ἐπὶ Τροίαν ἀθροίζειν καὶ στρατολογεῖν τὴν Ἑλλάδα. ὃ δὲ πέμπων κήρυκα πρὸς ἕκαστον τῶν βασιλέων τῶν ὅρκων ὑπεμίμνησκεν ὧν ὤμοσαν καὶ περὶ τῆς ἰδίας γυναικὸς ἕκαστον ἀσφαλίζεσθαι παρήνει, ἴσην λέγων γεγενῆσθαι τὴν τῆς Ἑλλάδος καταφρόνησιν καὶ κοινήν. ὄντων δὲ πολλῶν προθύμων στρατεύεσθαι, παραγίνονται καὶ πρὸς Ὀδυσσέα εἰς Ἰθάκην· ὃ δὲ οὐ βουλόμενος στρατεύεσθαι προσποιεῖται μανίαν. Παλαμήδης δὲ ὁ Ναυπλίου ἤλεγξε τὴν μανίαν ψευδῆ καὶ προσποιησαμένου μεμηνέναι παρηκολούθει, ἁρπάσας δὲ Τηλέμαχον ἐκ τοῦ Πηνελόπης κόλπου ὡς κτενῶν ἐξιφούλκει. Ὀδυσσεὺς δὲ περὶ τοῦ παιδὸς εὐλαβηθεὶς ὡμολόγησε τὴν προσποίητον μανίαν καὶ στρατεύεται. συνηθροίζετο δὲ ὁ στρατὸς ἐν Αὐλίδι. οἱ δὲ στρατεύσαντες ἐπὶ Τροίαν ἦσαν οἵδε. Βοιωτῶν μὲν ἡγεμόνες δέκα· ἦγον ναῦς μ΄. Ὀρχομενίων δ΄· ἦγον ναῦς λ΄. Φωκέων ἡγεμόνες δ΄· ἦγον ναῦς μ΄. Λοκρῶν Αἴας Ὀιλέως· ἦγε ναῦς μ΄. Εὐβοέων Ἐλεφήνωρ Χαλκώδοντος καὶ Ἀλκυόνης· ἦγε ναῦς μ΄. Ἀθηναίων Μενεσθεύς· ἦγε ναῦς ν΄. Σαλαμινίων Αἴας ὁ Τελαμώνιος· ἦγε ναῦς ιβ΄. Ἀργείων Διομήδης Τυδέως καὶ οἱ σὺν αὐτῷ· ἦγον ναῦς π΄. Μυκηναίων Ἀγαμέμνων Ἀτρέως καὶ Ἀερόπης· ναῦς ρ΄. Λακεδαιμονίων Μενέλαος Ἀτρέως καὶ Ἀερόπης ξ΄. Πυλίων Νέστωρ Νηλέως καὶ Χλωρίδος ναῦς μ΄. Ἀρκάδων Ἀγαπήνωρ ναῦς ζ΄. Ἠλείων Ἀμφίμαχος καὶ οἱ σὺν αὐτῷ ναῦς μ΄. Δουλιχίων Μέγης Φυλέως ναῦς μ΄. Κεφαλλήνων Ὀδυσσεὺς Λαέρτου καὶ Ἀντικλείας ναῦς ιβ΄. Αἰτωλῶν Θόας Ἀνδραίμονος καὶ Γόργης· ἦγε ναῦς μ΄. Κρητῶν Ἰδομενεὺς Δευκαλίωνος μ΄. Ῥοδίων Τληπόλεμος Ἡρακλέους καὶ Ἀστυόχης ναῦς θ΄. Συμαίων Νιρεὺς Χαρόπου ναῦς γ΄. Κώων Φείδιππος καὶ Ἄντιφος οἱ Θεσσαλοῦ λ΄. Μυρμιδόνων Ἀχιλλεὺς Πηλέως καὶ Θέτιδος ν΄. ἐκ Φυλάκης Πρωτεσίλαος Ἰφίκλου μ΄. Φεραίων Εὔμηλος Ἀδμήτου ια΄. Ὀλιζώνων Φιλοκτήτης Ποίαντος ζ΄. Αἰνιανῶν Γουνεὺς ἐκ Κύφου κβ΄. Τρικκαίων Ποδαλείριος λ΄. Ὀρμενίων Εὐρύπυλος ναῦς μ΄. Γυρτωνίων Πολυποίτης Πειρίθου

12 cod. παρηκολούθη 15 [συστρατ.?] 17 cod. βιωτῶν 19 cod. ὁ ἰλέως 21 cod. σαλμινίων 24 cod. πηλίων 27 cod. μάγης | cod. κεφαλῆν˜ 28 cod. αὐτικλείας 30 Τληπόλεμος] cod. τλιπόλεβος 31 cod. κυμαίων νηρεὺς χαροποῦ 34 Ὀλιζώνων] cod. ὅων 35 ἐκ Κύφου?] cod. ὠκύπου [recte: *Ociti* Hyginus] | cod. τρικαίων 36 Γυρτωνίων] cod. γοργυτίων

λ′. Μαγνήτων Πρόθοος Τενθρηδόνος μ′. νῆες μὲν οὖν αἱ πᾶσαι ,αιγ′, ἡγεμόνες δὲ μγ′, ἡγεμο||16a νεῖαι δὲ λ′. θυσίας δὲ γενομένης ἐν Αὐλίδι τῷ Ἀπόλλωνι ὄντος ἐκεῖ τοῦ στρατεύματος, ὁρμήσας δράκων ἐκ τοῦ βωμοῦ παρὰ τὴν πλησίον πλάτανον, οὔσης ἐν αὐτῇ νεοττείας, τοὺς ἐν αὐτῇ καταναλώσας στρουθοὺς ὀκτὼ σὺν τῇ μητρὶ ἐννάτῃ λίθος ἐγένετο. Κάλχας δὲ εἰπὼν κατὰ Διὸς βούλησιν γεγονέναι αὐτοῖς τὸ σημεῖον τοῦτο, τεκμηράμενος ἐκ τῶν γεγονότων ἔφη δεκαετεῖ χρόνῳ δεῖν Τροίαν ἁλῶναι. καὶ πλεῖν παρεσκευάζετο ἐπὶ Τροίαν. Ἀγαμέμνων οὖν αὐτὸς ἡγεμὼν τοῦ σύμπαντος στρατοῦ ἦν, ἐναυάρχει δ' Ἀχιλλεὺς πεντεκαιδεκαέτης τυγχάνων. ἄπλοια οὖν κατεῖχε τὸν στόλον. Κάλχας δὲ ἔφη οὐκ ἄλλως δύνασθαι πλεῖν αὐτούς, εἰ μὴ τῶν Ἀγαμέμνονος θυγατέρων ἡ κρατιστεύουσα κάλλει σφάγιον Ἀρτέμιδος παραστῇ· ἔλεγε γὰρ μηνίσαι Ἀγαμέμνονι τὴν θεόν, κατὰ μέν τινας ἐπεὶ κατὰ θήραν ἐν Ἰκαρίῳ βαλὼν ἔλαφον εἶπεν οὐ δύνασθαι σωτηρίας αὐτὴν τυχεῖν οὐδ' Ἀρτέμιδος θελούσης, κατὰ δέ τινας ὅτι τὴν χρυσῆν ἄρνα οὐκ ἔθυσεν αὐτῇ Ἀτρεύς. τοῦ δὲ χρησμοῦ τούτου γενομένου πέμψας Ἀγαμέμνων πρὸς Κλυταιμνήστραν Ὀδυσσέα καὶ Ταλθύβιον Ἰφιγένειαν ᾔτει, λέγων ὑπεσχῆσθαι δώσειν αὐτὴν Ἀχιλλεῖ γυναῖκα μισθὸν τῆς στρατείας. πεμψάσης δὲ ἐκείνης Ἀγαμέμνων τῷ βωμῷ παραστήσας ἔμελλε σφάζειν, Ἄρτεμις δὲ αὐτὴν ἁρπάσασα εἰς Ταύρους ἱέρειαν αὐτῆς κατέστησεν, ἔλαφον ἀντ' αὐτῆς παραστήσασα τῷ βωμῷ· ὡς δὲ ἔνιοι λέγουσιν, ἀθάνατον αὐτὴν ἐποίησεν. ἀναχθέντες δὲ προσέπλεον Τροίᾳ, καὶ πέμπουσιν Ὀδυσσέα καὶ Μενέλαον τὴν Ἑλένην καὶ τὰ χρήματα αἰτοῦντες. συναθροισθείσης δὲ παρὰ τοῖς Τρωσὶν ἐκκλησίας, οὐ μόνον τὴν Ἑλένην οὐκ ἀπεδίδουν ἀλλὰ καὶ τούτους κτείνειν ἤθελον. τούτους μὲν οὖν ἔσωσεν Ἀντήνωρ, οἱ δὲ Ἕλληνες ἀχθόμενοι τῶν βαρβάρων τὴν καταφρόνησιν ἀναλαβόντες τὴν πανοπλίαν ἔπλεον ἐπ' αὐτούς. Ἀχιλλεῖ δὲ ἐπιστέλλει Θέτις πρώτῳ μὴ ἀποβῆναι τῶν νεῶν· τὸν γὰρ ἀποβάντα πρῶτον μέλλειν καὶ τελευτᾶν. πυθόμενοι δὲ οἱ βάρβαροι τὸν στόλον πλεῖν σὺν ὅπλοις ἐπὶ τὴν θάλασσαν ὥρμησαν καὶ βάλλοντες πέτροις ἀποβῆναι ἐκώλυον. τῶν δὲ Ἑλλήνων πρῶτος ἀπέβη τῆς νηὸς Πρω-

1 cod. Πρόθους Πενθρηδόνος 4 cod. εκτοῦ 9 [παρεσκευάζοντο?] 10 cod. ἐναυάρχη 15 [βάλλων] 17 cod. χρυσὴν 20 cod. αὐτῇ 22 s. Vat. exc. (R. Wagner musei Rhen. XLI 1886 pag. 147) ἀλλὰ ταύτην μὲν Ἄρτεμις ἁρπάσασα ἱέρειαν ἑαυτῆς εἰς Σκυθοταύρους κατέστησεν, ἔλαφον ἀντ' αὐτῆς τῷ βωμῷ παραστήσασα 23 cod. αὐτῆς 26 [ἀπαιτοῦντες?] 33 [ἐπιπλεῖν?]

τεσίλαος καὶ κτείνας οὐκ ὀλίγους ὑφ' Ἕκτορος θνήσκει. τούτου γυνὴ Λαοδάμεια καὶ μετὰ θάνατον ἤρα, καὶ ποιήσασα εἴδωλον Πρωτεσιλάῳ παραπλήσιον τούτῳ προσωμίλει. Πρωτεσιλάου δὲ τελευτήσαντος, ἐκβαίνει μετὰ Μυρμιδόνων Ἀχιλλεὺς καὶ λίθον (βα)λὼν εἰς τὴν κεφαλὴν Κύκνου κτείνει. ὡς δὲ τοῦτον νεκρὸν εἶδον οἱ βάρβαροι, φεύγουσιν εἰς τὴν πόλιν, οἱ δὲ Ἕλληνες ἐκπηδήσαντες τῶν νεῶν ἐνέπλησαν σωμάτων τὸ πεδίον καὶ καταλύσαντες τοὺς Τρῶας ἐπολιόρκουν· ἀνέλκουσι δὲ τὰς ναῦς. μὴ θαρρούντων δὲ τῶν βαρβάρων, || Ἀχιλλεὺς ἐνεδρεύσας f. 1 Τρωίλον ἐν τῷ τοῦ Θυμβραίου Ἀπόλλωνος ἱερῷ φονεύει καὶ νυκτὸς ἐλθὼν ἐπὶ τὴν πόλιν Λυκάονα λαμβάνει. παραλαβὼν δὲ Ἀχιλλεὺς τινὰς τῶν ἀριστέων τὴν χώραν ἐπόρθει καὶ παραγίνεται εἰς Ἴδην ἐπὶ τὰς Αἰνείου τοῦ Πριάμου βόας. φυγόντος δὲ αὐτοῦ, τοὺς βουκόλους κτείνας καὶ Μήστορα τὸν Πριάμου τὰς βόας ἐλαύνει· αἱρεῖ δὲ καὶ Λέσβον καὶ Φώκαιαν, εἶτα Κολοφῶνα καὶ Σμύρναν καὶ Κλαζομενὰς καὶ Κύμην, μεθ' ἃς Αἰγίαλον καὶ Τῆνον, τὰς ἑκατὸν καλουμένας πόλεις· εἶτα ἑξῆς Ἀδραμύτιον καὶ Σίδην, εἶτα Ἔνδιον καὶ Λιναῖον καὶ Κολώνην. αἱρεῖ δὲ καὶ Θήβας τὰς Ὑποπλακίας καὶ Λυρνησσόν, ἔτι δὲ καὶ Ἄνδρον καὶ ἄλλας πολλάς. ἐνναετοῦς δὲ χρόνου διελθόντος παραγίνονται τοῖς Τρωσὶ σύμμαχοι ἐκ τῶν περιοίκων πόλεων Αἰνείας Ἀγχίσου καὶ σὺν αὐτῷ Ἀρχέλαος καὶ Ἀκάμας Ἀντήνορος καὶ Θεανοῦς, Δαρδανίων ἡγούμενοι· Θρᾳκῶν Ἀκάμας Εὐσώρου, Κικόνων Εὔφημος Τροιζῆνος, Παιόνων Πυραίχμης, Παφλαγόνων Πυλαιμένης Βιλσάτου, ἐκ Ζελίας Πάνδαρος Λυκάονος, ἐξ Ἀδραστείας Ἄδραστος καὶ Ἄμφιος Μέροπος, ἐκ δ' Ἀρίσβης Ἄσιος Ὑρτάκου, ἐκ Λαρίσσης Ἱππόθοος Πελασγοῦ, ἐκ Μυσίας Χρόμιος καὶ Ἔννομος Ἀρσινόου, Ἀλιζώνων Ὀδίος καὶ Ἐπίστροφος Μηκιστέως, Φρυγῶν Φόρκυς καὶ Ἀσκάνιος Ἀρετάονος, Μαιόνων Μέσθλης καὶ Ἄντιφος Ταλαιμένους, Καρῶν Νάστης καὶ Ἀμφίμαχος Νομίονος, Λυκίων Σαρπηδὼν Διὸς καὶ Γλαῦκος Ἱππολόχου. προκαλουμένου Ἕκτορος

2 [ἡ γυνὴ] | cod. ἥρα 3 cod. προσομίλει | cod. προτεσιλάου 8 cod. καταλείσαντες [lege κατακλείσαντες] | cod. τρώας 10 cod. τρωΐλον 14 καὶ Μήστορα] cod. καμήστορα 15 cod. φωκέας 17 Τήμνον? | τὰς — πόλεις interpolatio antiqua? cf. Steph. Byz. in Τῆνος 18 Ἴδην? Σιδήνην? | Κίλλαιον? Καλλικολώνην? 19 cod. ὑπὸ πλακείας 20 Ἄντανδρον? 23 cod. Αὐτήνορος 24 Πυραίχμης] cod. πυραίχαγής 25 id est Ζελείας 26 Ἄδραστος] cod. ἄδρας | cod. Μερόπης 28 cod. ἐννόμιος | cod. ἀλιζόνων ὁ δῖος 29 cod. Μηκιστεύς 30 cod. Ἄντυφος Πυλαιμένου, σκάρων 31 cod. ἀμφίναχος. νομίωνος 32 cod. γλαῦχος

τὸν ἄριστον εἰς μονομαχίαν, πολλῶν ἐλθόντων Αἴας κληρωσάμενος πυκτεύει. νυκτὸς δὲ ἐπιγενομένης κήρυκες διαλύουσιν αὐτούς. Ἀχιλλεὺς δὲ μηνίων ἐπὶ τὸν πόλεμον οὐκ ἐξήει διὰ Βρισηίδα * τῆς θυγατρὸς Χρύσου τοῦ ἱερέως. διὸ θαρσήσαντες οἱ βάρβαροι ἐκ τῆς πόλεως προῆλθον. καὶ μονομαχεῖ Ἀλέξανδρος πρὸς Μενέλαον, Ἀλέξανδρον δὲ ἡττώμενον ἁρπάζει Ἀφροδίτη. Πάνδαρος δὲ τοξεύσας Μενέλαον τοὺς ὅρκους ἔλυσεν. οἱ δὲ Ἕλληνες πρὸς τοῦ ναυστάθμου τεῖχος ποιοῦνται καὶ τάφρον, καὶ γενομένης μάχης ἐν τῷ πεδίῳ οἱ Τρῶες τοὺς Ἕλληνας εἰς τὸ τεῖχος διώκουσιν· οἳ δὲ πέμπουσι πρὸς Ἀχιλλέα πρέσβεις Ὀδυσσέα καὶ Φοίνικα καὶ Αἴαντα, συμμαχεῖν ἀξιοῦντες καὶ Βρισηίδα καὶ ἄλλα δῶρα ὑπισχνούμενοι. νυκτὸς δὲ ἐπιγενομένης κατασκόπους πέμπουσιν Ὀδυσσέα καὶ Διομήδην· οἳ δὲ ἀναιροῦσι Δόλωνα τὸν Εὐμήλου καὶ Ῥῆσον τὸν Θρᾷκα — ὃς πρὸ μιᾶς ἡμέρας παραγενόμενος Τρωσὶ σύμμαχος οὐ συμβαλὼν ἀπωτέρω τῆς Τρωικῆς δυνάμεως χωρὶς Ἕκτορος ἐστρατοπέδευσε — τούς τε περὶ αὐτὸν δώδεκα κοιμωμένους κτείνουσι καὶ τοὺς ἵππους ἐπὶ τὰς ναῦς ἄγουσι. μεθ' ἡμέραν δὲ ἰσχυρᾶς μάχης γενομένης, τρωθέντων Ἀγαμέμνονος καὶ Διομήδους Ὀδυσσέως Εὐρυπύλου Μαχάονος, καὶ τροπῆς τῶν Ἑλλή- f. 117a νων γενομένης Ἕκτωρ ῥήξας τὸ τεῖχος εἰσέρ||χεται καὶ ἀναχωρήσαντος Αἴαντος πῦρ ἐμβάλλει ταῖς ναυσίν. ὡς δὲ εἶδεν Ἀχιλλεὺς τὴν Πρωτεσιλάου ναῦν καιομένην, ἐκπέμπει Πάτροκλον καθοπλίσας τοῖς ἰδίοις ὅπλοις μετὰ τῶν Μυρμιδόνων, δοὺς αὐτῷ τοὺς ἵππους. ἰδόντες δὲ αὐτὸν οἱ Τρῶες καὶ νομίσαντες Ἀχιλλέα εἶναι εἰς φυγὴν τρέπονται. καταδιώξας δὲ αὐτοὺς εἰς τὸ τεῖχος πολλοὺς ἀναιρεῖ, ἐν οἷς καὶ Σαρπηδόνα τὸν Διός, καὶ ὑφ' Ἕκτορος ἀναιρεῖται, τρωθεὶς πρότερον ὑπὸ Εὐφόρβου. μάχης δὲ ἰσχυρᾶς γενομένης περὶ τοῦ νεκροῦ, μόλις Αἴας ἀριστεύσας σῴζει τὸ σῶμα. Ἀχιλλεὺς δὲ τὴν ὀργὴν ἀποθέμενος καὶ τὴν Βρισηίδα κομίζεται. καὶ πανοπλίας αὐτῷ κομισθείσης παρὰ Ἡφαίστου καθοπλισάμενος ἐπὶ τὸν πόλεμον ἐξέρχεται καὶ συνδιώκει τοὺς Τρῶας ἐπὶ τὸν Σκάμανδρον, κἀκεῖ πολλοὺς μὲν ἄλλους ἀναιρεῖ, κτείνει δὲ καὶ Ἀστεροπαῖον τὸν Πηλεγόνος τοῦ Ἀξιοῦ ποταμοῦ, καὶ αὐτῷ λάβρος ὁ ποταμὸς ἐφορμᾷ. καὶ τού-

4 cod. Βρισηΐδα τῆς θυγατρὸς [cf. Hyginus fab. 106 *Briseida Brisei sacerdotis filiam ... Chryseida Chrysi sacerdoti*] | cod. Χρύση 6 cod. ἡττόμενον 16 cod. ἀποτέρω | cod. Ἔκτορος 17 cod. αὐτον 18 cod. μεθημέραν 19 cod. διομίδους 21 cod. ἕκτωρ 31 cod. βροσηΐδα 34 Πηλεγόνος] cod. τηλεγόνους 35 cod. ἄξίου

του μὲν ὁ Ἥφαιστος τὰ ῥεῖθρα ἀναξηραίνει πολλῇ φλογὶ διώξας, ὁ δ' Ἀχιλλεὺς Ἕκτορα ἐκ μονομαχίας ἀναιρεῖ καὶ ἐξάψας αὐτοῦ τὰ σφυρὰ ἐκ τοῦ ἅρματος σύρων ἐπὶ τὰς ναῦς παραγίνεται. καὶ θάψας Πάτροκλον ἐπ' αὐτῷ ἀγῶνα τίθησιν, ἐν ᾧ νικᾷ ἵπποις Διομήδης, Ἐπειὸς πυγμῇ, Αἴας καὶ Ὀδυσσεὺς πάλῃ. μετὰ δὲ τὸν ἀγῶνα παραγενόμενος Πρίαμος πρὸς Ἀχιλλέα λυτροῦται τὸ Ἕκτορος σῶμα καὶ θάπτει. καὶ μάχης γενομένης πολλοὺς κτείνει, θνήσκει δ' ὁ Τρι//ὴς ὑπὸ Ἀχιλλέως. Μέμνων δὲ ὁ Τιθωνοῦ καὶ Ἠοῦς πολλὴν Αἰθιόπων δύναμιν ἀθροίσας παραγίνεται καὶ τῶν Ἑλλήνων οὐκ ὀλίγους ἀναιρεῖ, κτείνει καὶ Ἀντίλοχον καὶ αὐτὸς θνήσκει ὑπὸ Ἀχιλλέως. διώξας δὲ τοὺς Τρῶας πρὸς ταῖς Σκαιαῖς πύλαις ἐτοξεύθη ὑπὸ Ἀλεξάνδρου καὶ Ἀπόλλωνος εἰς τὸ σφυρόν. γενομένης δὲ περὶ τοῦ νεκροῦ μάχης, Αἴας Γλαῦκον ἀναιρεῖ καὶ τὰ ὅπλα δίδωσιν ἐπὶ τὰς ναῦς κομίζειν, τὸ δὲ σῶμα βαστάσας Αἴας βαλλόμενος βέλεσι μέσον τῶν πολεμίων διήνεγκεν, Ὀδυσσέως πρὸς τοὺς ἐπιφερομένους μαχομένου. Ἀχιλλέως δὲ ἀποθανόντος συμφορᾶς ἐπληρώθη τὸ στράτευμα, θάπτουσι δὲ αὐτὸν τοῖς Πατρόκλου μίξαντες ὀστοῖς ἐν Λευκῇ νήσῳ καὶ λέγεται μετὰ θάνατον ἐν Μακάρων νήσοις αὐτῷ Μήδειαν συνοικεῖν. τιθέασι δὲ ἐπ' αὐτῷ ἀγῶνα, ἐν ᾧ νικᾷ Εὔμηλος ἵπποις, Διομήδης σταδίῳ, Αἴας δίσκῳ, Τεῦκρος τόξῳ. τὴν δὲ Ἀχιλλέως πανοπλίαν τιθεῖσι τῷ ἀρίστῳ νικητήριον καὶ καταβαίνουσιν εἰς ἅμιλλαν Αἴας καὶ Ὀδυσσεὺς καὶ κρινάντων τῶν Τρώων, ὡς δέ τινες, τῶν συμμάχων Ὀδυσσεὺς προκρίνεται. Αἴας δὲ ὑπὸ λύπης ταραχθεὶς ἐπιβουλεύεται νύκτωρ τῷ στρατεύματι, καὶ αὐτῷ μανίαν ἐμβαλοῦσα Ἀθηνᾶ εἰς τὰ βοσκήματα ἐκτρέπει ξιφήρη· ὃ δὲ ἐκμανεὶς σὺν τοῖς νέμουσι τὰ βοσκήματα ὡς Ἀχαιοὺς φονεύει. καὶ σωφρο||νήσας ὕστερον f. 117b ἑαυτὸν κτείνει. Ἀγαμέμνων δε κωλύει τὸ σῶμα αὐτοῦ καῆναι καὶ μόνος οὗτος τῶν ἐν Ἰλίῳ ἀποθανόντων ἐν σορῷ κεῖται, ὁ δὲ τάφος ἐστὶν ἐν Ῥοιτείῳ. Κάλχας θεσπίζει οὐκ ἄλλως ἁλῶναι δύνασθαι Τροίαν, ἂν μὴ τὰ Ἡρακλέους ἔχωσι συμμαχοῦντα τόξα. ταῦτα ἀκούσας Ὀδυσσεὺς μετὰ Διομήδους εἰς Λῆμνον ἀφικνεῖται πρὸς Φιλοκτήτην καὶ δόλῳ ἐγκρατὴς γενόμενος τῶν

8 una littera deficit, superne dinoscitur flexura [Penthesilea filia Martis et Ὀτρηρῆς] 11—17 cf. Vat. exc. (l. c. p. 148) διώξας — μαχομένου 12 τοξεύεται Vat. exc. 13 μάχης ante περὶ in Vat. exc. 16 cod. ἐπιφεραμένους 18 [post ὀστοῖς hiat narratio] 20 cod. μίδειαν 21 cod. ἵπποις 22 cod. τίθεισι 23 cod. ἅμιλλαν 25 [ἐπιβουλεύει?] 28 cod. ἀχεοὺς 31 Ῥοιτείῳ] cod. ῥυτείω 32 cod. ἔχουσι 33 cod. διομίδους 34 cod. ἐγκρατῆς

τόξων πείθει πλεῖν αὐτὸν ἐπὶ Τροίαν, ὃ δὲ παραγενόμενος καὶ θεραπευθεὶς ὑπὸ Ποδαλειρίου Ἀλέξανδρον τοξεύει. τούτου δὲ ἀποθανόντος εἰς ἔριν ἔρχονται Ἕλενος καὶ Δηίφοβος ὑπὲρ τῶν Ἑλένης γάμων. προκριθέντος δὲ τοῦ Δηιφόβου, Ἕλενος ἀπολιπὼν Τροίαν ἐν Ἴδῃ διετέλει. εἰπόντος δὲ Κάλχαντος Ἕλενον εἰδέναι τοὺς ῥυομένους τὴν πόλιν χρησμούς, ἐνεδρεύσας αὐτὸν Ὀδυσσεὺς καὶ χειρωσάμενος ἐπὶ τὸ στρατόπεδον ἤγαγε. καὶ ἀναγκαζόμενος ὁ Ἕλενος λέγει πῶς ἂν αἱρεθείη τὸ Ἴλιον, πρῶτον μὲν εἰ τὰ Πέλοπος ὀστᾶ κομισθείη παρ' αὐτούς, ἔπειτα εἰ Νεοπτόλεμος συμμαχοίη, τρίτον εἰ τὸ διιπετὲς παλλάδιον ἐκκλαπείη· τούτου γὰρ ἔνδον ὄντος οὐ δύνασθαι τὴν πόλιν ἁλῶναι. ταῦτα ἀκούσαντες τὰ μὲν Πέλοπος ὀστᾶ μετακομίζουσιν, Ὀδυσσέα δὲ καὶ Φοίνικα πρὸς Λυκομήδη πέμπουσι εἰς Σκῦρον, οἳ δὲ πείθουσι τὸν Νεοπτόλεμον προέσθαι. παραγενόμενος δὲ οὗτος εἰς τὸ στρατόπεδον καὶ λαβὼν παρ' ἑκόντος Ὀδυσσέως τὴν τοῦ πατρὸς πανοπλίαν πολλοὺς τῶν Τρώων ἀναιρεῖ. ἀφικνεῖται δὲ ὕστερον Τρωσὶ σύμμαχος Εὐρύπυλος ὁ Τηλέφου πολλὴν Μυσῶν δύναμιν ἄγων. τοῦτον ἀριστεύσαντα Νεοπτόλεμος ἀπέκτεινεν. Ὀδυσσεὺς δὲ μετὰ Διομήδους παραγενόμενος νύκτωρ εἰς τὴν πόλιν Διομήδην μὲν αὐτοῦ μένειν εἴα, αὐτὸς δὲ αὑτὸν αἰκισάμενος καὶ πενιχρὰν στολὴν ἐνδὺς εἰς τὴν πόλιν ἀγνώστως εἰσέρχεται ὡς ἐπαίτης. γνωρισθεὶς δὲ ὑπὸ Ἑλένης δι' ἐκείνης τὸ παλλάδιον ἔκλεψε καὶ πολλοὺς κτείνας τῶν φυλασσόντων ἐπὶ τὰς ναῦς μετὰ Διομήδους κομίζει. ὕστερον δὲ ἐπινοεῖ δουρείου ἵππου κατασκευὴν καὶ ὑποτίθεται Ἐπειῷ, ὃς ἦν ἀρχιτέκτων. οὗτος ἐπὶ τῶν Ἴδης ξύλα τεμὼν ἵππον κατασκευάζει κοῖλον ἔνδοθεν εἰς τὰς πλευρὰς ἀνεῳγμένον. εἰς τοῦτον Ὀδυσσεὺς εἰσελθεῖν πείθει πεντήκοντα τοὺς ἀρίστους, ὡς δὲ ὁ τὴν μικρὰν γράψας Ἰλιάδα φησὶ τρισχιλίους, τοὺς δὲ λοιποὺς γενομένης νυκτὸς ἐμπρήσαντας τὰς σκηνὰς ἀναχθέντας περὶ τὴν Τένεδον ναυλοχεῖν καὶ μετὰ τὴν ἐπιοῦσαν νύκτα καταπλεῖν· οἳ δὲ πείθονται καὶ τοὺς μὲν ἀρίστους ἐμβιβάζουσιν f. 118a εἰς τὸν ἵππον ἡγεμόνα κατα||στήσαντες αὐτῶν Ὀδυσσέα, γράμματα ἐγχαράξαντες τὰ δηλοῦντα "τῆς εἰς οἶκον ἀνακομιδῆς Ἕλληνες Ἀθηνᾷ χαριστήριον". οἳ δὲ ἐμπρήσαντες τὰς σκηνὰς καὶ καταλιπόντες Σίνωνα, ὃς ἔμελλεν αὐτοῖς πυρσὸν ἀνάπτειν

3 4 8 cod. ἕλενος 5 cod. ἕλενον 9 αὐτούς?] cod. αὐταῖς 10 cod. νεοπόλεμος | ἐκλαπείη 13 cod. λυκομίδη | εἰς κύρὸ 18 cod. μϊσῶν 19 cod. διομίδους 20 cod. διομίδην 21 cod. αὐτὸν 22 ὑποἑλένης 24 cod. διομίδους 36 cod. σίμωνα

τῆς νυκτός, ἀνάγονται καὶ περὶ Τένεδον ναυλοχοῦσιν. ἡμέρας δὲ γενομένης ἔρημον οἱ Τρῶες τὸ τῶν Ἑλλήνων θεασάμενοι στράτευμα καὶ νομίσαντες αὐτοὺς πεφευγέναι περιχαρέντες εἷλκον τὸν ἵππον. Κασάνδρας δὲ λεγούσης ἔνοπλον ἐν αὐτῷ δύναμιν εἶναι καὶ προσέτι Λαοκόωντος τοῦ μάντεως, τοῖς μὲν ἐδόκει κατακαίειν, τοῖς δὲ κατὰ βαράθρων ἀφιέναι. δόξαν δὲ τοῖς πολλοῖς ἵνα αὐτὸν ἐάσωσι θεῖον ἀνάθεμα, τραπέντες ἐπὶ θυσίαν εὐωχοῦντο. ὡς δὲ ἐγένετο νὺξ καὶ πάντας ὕπνος κατεῖχεν, οἱ ἀπὸ Τενέδου προσέπλεον καὶ Σίνων αὐτοῖς ἀπὸ τοῦ Ἀχιλλέους τάφου πυρσὸν ἧπτεν. Ἑλένη δὲ ἐλθοῦσα περὶ τὸν ἵππον μιμουμένη τὰς φωνὰς ἑκάστης τῶν γυναικῶν τοὺς ἀριστέας ἐκάλει, ὑπακοῦσαι δὲ Ἀντίκλου θέλοντος Ὀδυσσεὺς τὸ στόμα κατέσχεν. ὡς δὲ ἐνόμισαν κοιμᾶσθαι τοὺς πολεμίους, ἀνοίξαντες σὺν τοῖς ὅπλοις ἐξῄεσαν καὶ πρῶτος μὲν Ἐχίων Πορθέως ἐφαλλόμενος ἀπέθανεν, οἱ δὲ λοιποὶ σειρᾷ ἐξάψαντες αὐτοὺς ἐπὶ τὰ τείχη παρεγένοντο καὶ τὰς πύλας ἀνοίξαντες ὑπεδέξαντο τοὺς ἀπὸ Τενέδου καταπλεύσαντας. χωρήσαντες δὲ μεθ' ὅπλων εἰς τὴν πόλιν εἰς τὰς οἰκίας ἐπερχόμενοι κοιμωμένους ἀνῄρουν. καὶ Νεοπτόλεμος μὲν ἐπὶ τοῦ Ἑρκείου Διὸς βωμοῦ καταφεύγοντα Πρίαμον ἀνεῖλεν, Μενέλαος δὲ Δηίφοβον κτείνας Ἑλένην ἐπὶ τὰς ναῦς ἄγει. ἀπάγουσι δὲ καὶ τὴν Θησέως μητέρα Αἴθραν οἱ Θησέως παῖδες. κτείναντες δὲ τοὺς Τρῶας τὴν πόλιν ἐνέπρησαν καὶ τὰ λάφυρα ἐμερίσαντο, καὶ θύσαντες πᾶσι τοῖς θεοῖς Ἀστυάνακτα ἀπὸ τῶν πύργων ἔρριψαν, Πολυξένην δὲ ἐπὶ τῷ Ἀχιλλέως τάφῳ κατέσφαξαν. λαμβάνει δὲ Ἀγαμέμνων μὲν κατ' ἐξαίρετον Κασάνδραν, Νεοπτόλεμος δὲ Ἀνδρομάχην, Ὀδυσσεὺς δὲ Ἑκάβην. ὡς δὲ ἔνιοι λέγουσιν, Ἕλενος αὐτὴν λαμβάνει καὶ διακομισθεὶς εἰς Χερρόνησον σὺν αὐτῇ κύνα γενομένην θάπτει ἔνθα νῦν λέγεται Κυνὸς Σῆμα. Λαοδίκην μὲν γὰρ κάλλει τῶν Πριάμου θυγατέρων διαφέρουσαν βλεπόντων πάντων Γῆ χάσματι ἀπέκρυψεν. ὡς δὲ ἔμελλον ἀποπλεῖν πορθήσαντες Τροίαν, ὑπὸ Κάλχαντος κατείχοντο μηνίειν Ἀθηνᾶν αὐτοῖς λέγοντος διὰ τὴν Αἴαντος ἀσέβειαν. καὶ τὸν μὲν Αἴαντα κτείνειν ἔμελλον, φεύγοντα δὲ ἐπὶ βωμὸν εἴασαν. || f. 118b καὶ μετὰ ταῦτα συνελθόντων εἰς ἐκκλησίαν Ἀγαμέμνων καὶ Μενέλαος ἐφιλονείκουν, Μενελάου λέγοντος ἀποπλεῖν, Ἀγαμέμνονος δὲ ἐπιμένειν κελεύοντος καὶ θύειν Ἀθηνᾷ. Διομήδης μὲν οὖν καὶ

7 [δόξαν ἵνα structura asiana] 14 [ἐξαλλ- an σφαλλόμενος?] 15 cod. αὐτοὺς 19 [Proclus ἐπὶ τὸν .. βωμὸν καταφυγόντα] 19—21 Vat. exc. καὶ Νεοπτόλεμος — ἀνεῖλεν 19 cod. ἐρκείου 27 cod. ἔλενος 28 χερόννησον 37 cod. διομίδης

Νέστωρ εὐπλοοῦσι, Μενέλαος δὲ μετὰ τούτων ἀναχθεὶς χειμῶνι περιπεσών, τῶν λοιπῶν ἀπολομένων σκαφῶν, πέντε ναυσὶν ἐπ' Αἴγυπτον ἀφικνεῖται. Ἀμφίλοχος δὲ καὶ Κάλχας καὶ Λεοντεὺς ἐν Ἰλίῳ τὰς ναῦς ἀπολιπόντες ἐπὶ Κολοφῶνα πεζῇ πορεύονται, κἀκεῖ θάπτουσι Κάλχαντα τὸν μάντιν· ἦν γὰρ αὐτῷ λόγιον τελευτήσειν, ἐὰν ἑαυτοῦ σοφωτέρῳ περιτύχῃ μάντει. ὑποδεχθέντος οὖν ὑπὸ Μόψου μάντεως, ὃς Ἀπόλλωνος καὶ Μαντοῦς παῖς ὑπῆρχεν — οὗτος ὁ Μόψος περὶ μαντικῆς ἤρισε Κάλχαντι καὶ Κάλχαντος ἀνακρίναντος ἐρινεοῦ ἑστώσης "πόσα ἔχει", τοῦ δὲ εἰπόντος "μύρια καὶ μέτρῳ μέδιμνον καὶ ἓν περισσόν", καταστήσας Κάλχας μυριάδα εὗρε καὶ μέδιμνον καὶ ἓν πλεονάζον, κατὰ τὴν τοῦ Μόψου πρόρρησιν. Μόψος δὲ συὸς οὔσης ἐπιτόκου ἠρώτα Κάλχαντα, πόσους χοίρους κατὰ γαστρὸς εἶναι, τοῦ δὲ εἰπόντος "ὀκτὼ" μειδιάσας ὁ Μόψος ἔφη "Κάλχας τῆς ἀκριβοῦς μαντείας ἀπεναντίας διάκειται, ἐγὼ δ' Ἀπόλλωνος καὶ Μαντοῦς παῖς ὑπάρχων τῆς ἀκριβοῦς μαντείας τὴν ὀξυδερκίαν πάντως πλουτῶ καὶ οὐχ ὡς ὁ Κάλχας ὀκτὼ ἀλλ' ἐννέα κατὰ γαστρός, καὶ τούτους ἄρρενας ὅλους ἔχειν μαντεύομαι καὶ αὔριον ἀνυπερθέτως ἐν ἕκτῃ ὥρᾳ τεχθήσεσθαι". τούτων γοῦν γενομένων Κάλχας ἀθυμήσας ἀπέθανε καὶ ἐτάφη ἐν Νοτίῳ. Ἀγαμέμνων δὲ θύσας ἀνάγεται καὶ Τενέδῳ προσίσχει, Νεοπτόλεμον δὲ πείθει Θέτις ἀφικομένη ἐπιμεῖναι δύο ἡμέρας καὶ θυσιάσαι, καὶ ἐπιμένει. οἳ δὲ ἀνάγονται καὶ περὶ Τῆνον χειμάζονται. Ἀθηνᾶ γὰρ ἐδεήθη Διὸς τοῖς Ἕλλησι χειμῶνα ἐπιπέμψαι. καὶ πολλαὶ νῆες βυθίζονται. Ἀθηνᾶ δὲ ἐπὶ τὴν Αἴαντος ναῦν κεραυνὸν βάλλει, ὃ δὲ τῆς νεὼς διαλυθείσης ἐπί τινα πέτραν διασωθεὶς παρὰ τὴν θεοῦ ἔφη πρόνοιαν σεσῶσθαι. Ποσειδῶν δὲ πλήξας τῇ τριαίνῃ τὴν πέτραν ἔσχισεν, ὃ δὲ πεσὼν εἰς τὴν θάλασσαν τελευτᾷ. καὶ ἐκβρασθέντα θάπτει Θέτις ἐν Μυκόνῳ. τῶν δὲ ἄλλων Εὐβοίᾳ προσφερομένων νυκτὸς Ναύπλιος ἐπὶ τοῦ Καφηρέως ὄρους τῆς Εὐβοίας πυρσὸν ἀνάπτει· οἳ δὲ νομίσαντες εἶναί τινας τῶν σεσωσμένων προσπλέουσι καὶ περὶ τὰς Καφηρίδας πέτρας θραύεται τὰ σκάφη καὶ πολλοὶ τελευτῶσιν. τῶν δὲ ναυαγησάντων περὶ τὸν Καφηρέα ἄλλος ἀλλαχῇ φέρεται, Γουνεὺς μὲν εἰς Λιβύην, Ἄντιφος δὲ ὁ Θεσσάλου εἰς Πελασγοὺς καὶ χώραν κατασχὼν Θεσσαλίαν ἐκάλεσεν, ὁ δὲ Φιλοκτήτης πρὸς Ἰταλίαν εἰς Καμπανούς, Φείδιππος μετὰ τῶν Κῴων ἐν

2 cod. ἀπολλομένων 4 cod. ἐπικολοφῶνα 5 cod. μάντην 12 cod. ἐπὶ τόκου 13 cod. Κάλχαντι | ἔχει? 19 nota γοῦν pro οὖν ut p. 183, 30 20 cod. ἀθυμίσας 27 cod. ποσιδὼν 32 cod. τινὰς 35 cod. πελασγοῦς

Ἄνδρῳ κατῴκησεν, || Ἀγαπήνωρ ἐν Κύπρῳ καὶ ἄλλος ἀλλαχοῦ. f. 119
Ἀγαμέμνων δὲ καταντήσας εἰς Μυκήνας μετὰ Κασάνδρας ἀναιρεῖται ὑπὸ Αἰγίσθου καὶ Κλυταιμνήστρας· δίδωσι γὰρ αὐτῷ χιτῶνα ἄχειρα καὶ ἀτράχηλον καὶ τοῦτον ἐνδυόμενος φονεύεται καὶ βασιλεύει Μυκηνῶν Αἴγισθος, κτείνουσι δὲ καὶ Κασάνδραν. Ἠλέκτρα δὲ μία τῶν Ἀγαμέμνονος θυγατέρων Ὀρέστην τὸν ἀδελφὸν ἐκκλέπτει καὶ δίδωσι Φωκεῖ Στροφίῳ τρέφειν, ὃ δὲ αὐτὸν ἐκτρέφει μετὰ Πυλάδου παιδὸς ἰδίου. τελειωθεὶς δὲ Ὀρέστης εἰς Δελφοὺς παραγίνεται καὶ τὸν θεὸν ἐρωτᾷ εἰ τοὺς αὐτόχειρας τοῦ πατρὸς μετέλθοι. τοῦ θεοῦ ἐπιτρέποντος, ἀπερχόμενος εἰς Μυκήνας μετὰ Πυλάδου λαθραίως τόν τε Αἴγισθον καὶ τὴν μητέρα κτείνει καὶ μετ' οὐ πολὺ μανίᾳ κατασχεθεὶς ὑπὸ Ἐρινύων διωκόμενος εἰς Ἀθήνας παραγίνεται. κρίνεται δὲ Ὀρέστης ἐν Ἀρείῳ πάγῳ, ὡς μὲν λέγουσί τινες ὑπὸ Ἐρινύων, ὡς δέ τινες ὑπὸ Τυνδάρεω, ὡς δέ τινες ὑπὸ Ἠριγόνης τῆς Αἰγίσθου καὶ Κλυταιμνήστρας, καὶ κριθεὶς ἴσων γενομένων τῶν ψήφων ἀπολύεται. ἐρομένῳ δὲ αὐτῷ πῶς ἂν ἀπαλλαγείη τῆς νόσου ὁ θεὸς εἶπεν, εἰ τὸ ἐν Ταύροις ξόανον μετακομίσειεν. οἱ δὲ Ταῦροι μοῖρά ἐστι Σκυθῶν, οἳ τοὺς ξένους φονεύουσι καὶ εἰς τὸ ἱερὸν ῥίπτουσι. τοῦτο ἦν ἐν τῷ τεμένει διά τινος πέτρας ἀναφερόμενον ἐξ Ἅιδου. παραγενόμενος οὖν εἰς Ταύρους Ὀρέστης μετὰ Πυλάδου φωραθεὶς ἑάλω καὶ ἄγεται πρὸς Θόαντα τὸν βασιλέα δέσμιος, ὃ δὲ ἀμφοτέρους πρὸς τὴν ἱέρειαν ἀποστέλλει. ἐπιγνωσθεὶς δὲ ὑπὸ τῆς ἀδελφῆς ἱερὰ ποιούσης ἐν Ταύροις ἄρας τὸ ξόανον σὺν αὐτῇ φεύγει. κομισθὲν δὲ εἰς Ἀθήνας νῦν λέγεται τὸ τῆς Ταυροπόλου. ἔνιοι δὲ αὐτὸν κατὰ χειμῶνα προσενεχθῆναι τῇ νήσῳ Ῥόδῳ λέγουσιν αὐτὸν καὶ κατὰ χρησμὸν ἐν τείχει καθοσιωθῆναι. Ὀρέστης δὲ τὴν ἀδελφὴν Ἠλέκτραν Πυλάδῃ συνῴκισεν, αὐτὸς δὲ γήμας Ἑρμιόνην ἐγέννησε Τισαμενόν. Μενέλαος δὲ πέντε ναῦς τὰς πάσας ἔχων μεθ' ἑαυτοῦ προσχὼν Σουνίῳ τῆς Ἀττικῆς ἀκρωτηρίῳ κἀκεῖθεν εἰς Κρήτην ἀπορριφεὶς πάλιν ὑπὸ ἀνέμων μακρὰν ἀπωθεῖται καὶ πλανώμενος ἀνά τε Λιβύην καὶ Φοινίκην καὶ Κύπρον καὶ Αἴγυπτον πολλὰ συναθροίζει χρήματα. καὶ κατά τινας εὑρίσκεται παρὰ Πρωτεῖ τῷ τῶν Αἰγυπτίων βασιλεῖ Ἑλένη, μέχρι τότε εἴδωλον ἐκ νεφῶν ἐσχηκότος τοῦ Μενελάου. ὀκτὼ δὲ πλανηθεὶς ἔτη κατέπλευσεν εἰς Μυκήνας, κἀκεῖ κατέλαβεν Ὀρέ-

3 cod. Κληταιμνήστρας 10 [μετέλθῃ?] 15 cod. τινὲς 17 cod. ἐρωμένω 19 cod. ἐστὶ 24 [ἱεροποιούσης?] 27 ναυαγόν? [hiulca puto: λέγουσιν καὶ τὸ ξόανον μεῖναι αὐτοῦ καὶ?] 29 cod. συνῴκησεν 31 id est προςσχὼν | cod. ἀκροτηρίω

στην μετεληλυθότα τὸν τοῦ πατρὸς φόνον. ἐλθὼν δὲ εἰς Σπάρτην ἰδίαν ἐκτήσατο βασιλείαν καὶ ἀπαθανατισθεὶς ὑπὸ Ἥρας εἰς τὸ Ἠλύσιον ἦλθε πεδίον μεθ' Ἑλένης. ὁ δὲ Ὀδυσσεὺς ὡς μὲν ἔνιοι λέγουσιν ἐπλανᾶτο κατὰ Λιβύην, ὡς δὲ ἔνιοι κατὰ Σικελίαν, ὡς δὲ ἄλλοι κατὰ τὸν Ὠκεανὸν ἢ κατὰ τὸ Τυρρηνικὸν f. 119b πέλαγος. || ἀναχθεὶς δὲ ἀπὸ Ἰλίου προσίσχει πόλει Κικόνων Ἰσμάρῳ καὶ ταύτην αἱρεῖ πολεμῶν καὶ λαφυραγωγεῖ, μόνου φεισάμενος Μάρωνος, ὃς ἦν ἱερεὺς Ἀπόλλωνος. αἰσθόμενοι δὲ οἱ τὴν ἤπειρον οἰκοῦντες Κίκονες σὺν ὅπλοις ἐπ' αὐτὸν παραγίνονται, ἀφ' ἑκάστης δὲ νεὼς ἓξ ἀποβαλὼν ἄνδρας ἀναχθεὶς ἔφευγε καὶ καταντᾷ εἰς τὴν Λωτοφάγων χώραν καὶ πέμπει τοὺς μαθησομένους τοὺς κατοικοῦντας· οἳ δὲ γευσάμενοι τοῦ λωτοῦ κατέμειναν· ἐφύετο γὰρ ἐν τῇ χώρᾳ καρπὸς ἡδὺς λεγόμενος λωτός, ὃς τῷ γευσαμένῳ πάντων ἐποίει λήθην. Ὀδυσσεὺς δὲ αἰσθόμενος τοὺς λοιποὺς κατασχών, τοὺς γευσαμένους μετὰ βίας ἐπὶ τὰς ναῦς ἄγει καὶ προσπλεύσας τῇ Κυκλώπων γῇ προσπελάζει. καταλιπὼν δὲ τὰς λοιπὰς ναῦς ἐν τῇ πλησίον νήσῳ μίαν ἔχων τῇ Κυκλώπων γῇ προσπελάζει, μετὰ δώδεκα ἑταίρων ἀποβὰς τῆς νεώς. ἔστι δὲ τῆς θαλάσσης πλησίον ἄντρον, εἰς ὃ ἔρχεται ἔχων ἀσκὸν οἴνου τὸν ὑπὸ Μάρωνος αὐτῷ δοθέντα. ἦν δὲ Πολυφήμου τὸ ἄντρον, ὃς ἦν Ποσειδῶνος καὶ Θοώσης νύμφης, ἀνὴρ ὑπερμεγέθης ἄγριος ἀνδροφάγος, ἔχων ἕνα ὀφθαλμὸν ἐπὶ τοῦ μετώπου. ἀνακαύσαντες δὲ πῦρ καὶ τῶν ἐρίφων θύσαντες εὐωχοῦντο. ἐλθὼν δὲ ὁ Κύκλωψ καὶ εἰσελάσας τὰ ποίμνια τῇ μὲν θύρᾳ προσέθηκε πέτρον ὑπερμεγέθη καὶ θεασάμενος αὐτοὺς ἐνίους κατήσθιεν. Ὀδυσσεὺς δὲ αὐτῷ δίδωσιν ἐκ τοῦ Μάρωνος οἴνου πιεῖν· ὃ δὲ πιὼν πάλιν ᾔτησε καὶ πιὼν τὸ δεύτερον ἐπηρώτα τὸ ὄνομα. τοῦ δὲ εἰπόντος Οὖτις καλεῖται, Οὖτιν ἠπείλει ὕστερον ἀναλῶσαι, τοὺς δὲ ἄλλους ἔμπροσθεν, καὶ τοῦτο αὐτὸ ξένιον ἀποδώσειν ὑπέσχετο. κατασχεθεὶς δὲ ὑπὸ μέθης ἐκοιμήθη. Ὀδυσσεὺς δὲ εὑρὼν ῥόπαλον κείμενον σὺν τέσσαρσιν ἑταίροις ἀπώξυνε καὶ πυρώσας ἐξετύφλωσεν αὐτόν. ἐπιβοωμένου δὲ Πολυφήμου τοὺς πέριξ Κύκλωπας, παραγενόμενοι ἐπηρώτων τίς αὐτὸν ἀδικεῖ. τοῦ δὲ εἰπόντος "Οὖτις", νομίσαντες αὐτὸν λέγειν "ὑπὸ μηδενὸς" ἀνεχώρησαν. ἐπιζητούντων δὲ τῶν ποιμνίων τὴν συνήθη νομήν, ἀνοίξας καὶ ἐπὶ τοῦ προθύρου στὰς τὰς χεῖρας ἐκπετάσας ἐψηλάφα τὰ ποίμνια. Ὀδυσσεὺς δὲ τρεῖς κριοὺς ὁμοῦ συνδέων

3 cod. μετ' ἐλένης 11 cod. λωτοφάγον 29 [ὅτι Οὖτις] 30 [αὐτῷ ?] 32 cod. ἀπώξενε [Homerus in hac re ἀποξῦσαι]

καὶ αὐτὸς τῷ μείζονι ὑποδύς, ὑπὸ τὴν γαστέρα κρυβείς, σὺν τοῖς ποιμνίοις ἐξῆλθε καὶ λύσας τοὺς ἑταίρους τῶν ποιμνίων ἐπὶ τὰς ναῦς ἐλάσας ἀποπλέων ἀνεβόησε Κύκλωπι ὡς Ὀδυσσεὺς εἴη καὶ ἐπιφεύγει τὰς ἐκείνου χεῖρας. ἦν δὲ λόγιον Κύκλωπι εἰρημένον ὑπὸ μάντεως || τυφλωθῆναι ὑπὸ Ὀδυσσέως. καὶ f. 120 μαθὼν τὸ ὄνομα πέτρας ἀποσπῶν ἠκόντιζεν εἰς τὴν θάλασσαν, μόλις δὲ ἡ ναῦς σῴζεται πρὸς τὰς πέτρας. ἐκ τούτου δὲ μηνίει Ποσειδῶν Ὀδυσσεῖ. ἀναχθεὶς δὲ συμπάσαις παραγίνεται εἰς Αἰολίαν νῆσον, ἧς ὁ βασιλεὺς ἦν Αἴολος. οὗτος ἐπιμελητὴς ὑπὸ Διὸς τῶν ἀνέμων καθεστήκει καὶ παύειν καὶ προϊέσθαι· ὃς ξενίσας Ὀδυσσέα δίδωσιν αὐτῷ ἀσκὸν βόειον, ἐν ᾧ κατέδησε τοὺς ἀνέμους ὑποδείξας οἷς δεῖ χρῆσθαι πλέοντα, τοῦτον ἐν τῷ σκάφει καταδήσας. ὁ δὲ Ὀδυσσεὺς ἐπιτηδείοις ἀνέμοις χρώμενος εὐπλοεῖ, καὶ πλησίον Ἰθάκης ὑπάρχων ἤδη τὸν ἀναφερόμενον ἐκ τῆς πόλεως καπνὸν ἰδὼν ἐκοιμήθη. οἱ δὲ ἑταῖροι νομίζοντες χρυσὸν ἐν τῷ ἀσκῷ κομίζειν αὐτόν, λύσαντες τοὺς ἀνέμους ἐξαφῆκαν καὶ πάλιν εἰς τοὐπίσω παρεγένοντο ὑπὸ τῶν πνευμάτων ἁρπασθέντες. Ὀδυσσεὺς δὲ ἀφικόμενος πρὸς Αἴολον ἠξίου πομπῆς τυχεῖν, ὁ δὲ αὐτὸν ἐκβάλλει τῆς νήσου λέγων ἀντιπρασσόντων τῶν θεῶν μὴ δύνασθαι σῴζειν. πλέων οὖν κατῆρε πρὸς Λαιστρυγόνας καὶ τὴν ἑαυτοῦ ναῦν καθώρμισεν ἐσχάτως. Λαιστρυγόνες δ' ἦσαν ἀνδροφάγοι καὶ αὐτῶν ἐβασίλευεν Ἀντιφάτης. μαθεῖν οὖν Ὀδυσσεὺς βουλόμενος τοὺς κατοικοῦντας ἔπεμψέ τινας πευσομένους. τούτοις δὲ ἡ τοῦ βασιλέως θυγάτηρ συντυγχάνει καὶ αὐτοὺς ἄγει πρὸς τὸν πατέρα. ὃ δὲ ἕνα μὲν αὐτῶν ἁρπάσας ἀναλίσκει, τοὺς δὲ λοιποὺς ἐδίωκε φεύγοντας κεκραγὼς καὶ συγκαλῶν τοὺς ἄλλους Λαιστρυγόνας. οἳ δὲ ἦλθον ἐπὶ τὴν θάλασσαν καὶ βάλλοντες πέτροις τὰ μὲν σκάφη κατέαξαν, αὐτοὺς δὲ ἐβίβρωσκον. Ὀδυσσεὺς δὲ κόψας τὸ πεῖσμα τῆς νεὼς ἀνήχθη, αἱ δὲ λοιπαὶ σὺν τοῖς πλέουσιν ἀπώλοντο, μίαν δὲ ἔχων ναῦν Αἰαίῃ νήσῳ προσίσχει. ταύτην κατῴκει Κίρκη θυγάτηρ Ἡλίου καὶ Πέρσης, Αἰήτου δὲ ἀδελφὴ πάντων ἔμπειρος οὖσα φαρμάκων. διελὼν δὲ τοὺς ἑταίρους αὐτὸς μὲν κλήρῳ μένει παρὰ τῇ νηί, Εὐρύλοχος δὲ πορεύεται μεθ' ἑτέρων εἰκοσιδύο τὸν ἀριθμὸν πρὸς Κίρκην. καλούσης δὲ αὐτῆς χωρὶς Εὐρυλόχου πάντες εἰσίασιν. ἣ δ' ἑκάστῳ κυκεῶνα πλήσασα τυροῦ καὶ μέλιτος καὶ ἀλφίτων καὶ οἴνου δίδωσι, μίξασα

3 cod. Ὁδυσσεὺς, item 13 4 [ἐκπεφεύγοι] 8 cod. Ποσειδῶν | adde ναυσὶ 9 cod. νῆσσον 24 cod. τινὰς 34 cod. νιΐ 35 ἑταίρων conieci

φαρμάκῳ. πιόντων δὲ αὐτῶν, ἐφαπτομένη ῥάβδῳ τὰς μορφὰς ἠλλοίου καὶ τοὺς μὲν ἐποίει λύκους, τοὺς δὲ σῦς, τοὺς δὲ ὄνους, τοὺς δὲ λέοντας. Εὐρύλοχος δὲ ἰδὼν ταῦτα Ὀδυσσεῖ ἀπαγγέλλει. ὃ δὲ λαβὼν μῶλυ παρὰ Ἑρμοῦ πρὸς Κίρκην ἔρχεται καὶ βαλὼν εἰς τὰ φάρμακα μῶλυ μόνος πιὼν οὐ φαρμάσσεται· σπασάμενος δὲ τὸ ξίφος ἦλθεν Κίρκην ἀποκτεῖναι. ἣ δὲ τὴν ὀργὴν παύσασα τοὺς ἑταίρους ἀποκαθίστησι. καὶ λαβὼν f. 120b ὅρκους Ὀδυσσεὺς παρ' αὐτῆς μηδὲν ἀδικηθῆναι συνευνάζεται καὶ γίνεται αὐτῷ παῖς || Τηλέγονος. ἐνιαυτὸν δὲ μείνας ἐκεῖ, πλεύσας τὸν Ὠκεανόν, σφάγια ταῖς ψυχαῖς ποιησάμενος μαντεύεται παρὰ Τειρεσίου, Κίρκης ὑποθεμένης, καὶ θεωρεῖ τάς τε τῶν ἡρῴων ψυχὰς καὶ τῶν ἡρωΐδων. βλέπει δὲ καὶ τὴν μητέρα Ἀντίκλειαν καὶ Ἐλπήνορα, ὃς ἐν τοῖς Κίρκης πεσὼν ἐτελεύτησε. παραγενόμενος δὲ πρὸς Κίρκην ὑπ' ἐκείνης προπεμφθεὶς ἀνήχθη καὶ τὴν νῆσον παραπλέει τῶν Σειρήνων. αἳ δὲ Σειρῆνες ἦσαν Ἀχελῴου καὶ Μελπομένης μιᾶς τῶν Μουσῶν θυγατέρες, Πεισινόη, Ἀγλαόπη, Θελξιέπεια. τούτων ἣ μὲν ἐκιθάριζεν, ἣ δὲ ᾖδεν, ἣ δὲ ηὔλει, καὶ διὰ τούτων ἔπειθον καταμένειν τοὺς παραπλέοντας. εἶχον δὲ ἀπὸ τῶν μηρῶν ὀρνίθων μορφάς. ταύτας παραπλέων Ὀδυσσεὺς τῆς ᾠδῆς βουλόμενος ὑπακοῦσαι Κίρκης ὑποθεμένης τῶν μὲν ἑταίρων τὰ ὦτα ἔβυσε κηρῷ, ἑαυτὸν δὲ ἐκέλευσε προσδεθῆναι τῷ ἱστῷ. πειθόμενος δὲ ὑπὸ τῶν Σειρήνων καταμένειν ἠξίου λυθῆναι, οἳ δὲ μᾶλλον αὐτὸν ἐδέσμευον, καὶ οὕτω παρέπλει. ἦν δὲ αὐταῖς Σειρῆσι λόγιον τελευτῆσαι νηὸς παρελθούσης. αἳ μὲν οὖν ἐτελεύτων. μετὰ δὲ τοῦτο παραγίνεται ἐπὶ δισσὰς ὁδούς. ἔνθεν μὲν ἦσαν αἱ Πλαγκταὶ πέτραι, ἔνθεν δὲ ὑπερμεγέθεις σκόπελοι δύο. ἦν δὲ ἐν μὲν θατέρῳ Σκύλλα Κραταιΐδος θυγάτηρ καὶ Τριήνου ἢ φόρκου πρόσωπον ἔχουσα καὶ στέρνα γυναικός, ἐκ λαγόνων δὲ κεφαλὰς ἓξ καὶ δώδεκα πόδας κυνῶν. ἐν δὲ θατέρῳ τῷ σκοπέλῳ ἦν Χάρυβδις, ἣ τῆς ἡμέρας τρίτον σπῶσα τὸ ὕδωρ πάλιν ἀνίει. ὑποθεμένης δὲ Κίρκης, τὸν μὲν παρὰ τὰς Πλαγκτὰς πλοῦν ἐφυλάξατο, παρὰ δὲ τὸν τῆς Σκύλλης σκόπελον ἐπὶ τῆς πρύμνης ἔστη καθωπλισμένος. ἐπιφανεῖσα δὲ ἡ Σκύλλα ἓξ ἑταίρους ἁρπάσασα τούτους κατεβίβρωσκεν. ἐκεῖθεν δὲ ἐλθὼν εἰς Θρινακίαν νῆσον οὖσαν Ἡλίου, ἔνθα βόες ἐβόσκοντο, καὶ

5 [τὸ μῶλυ] 6 [ἤθελε?] 16 Apollod. I 3, 4 Μελπομένης δὲ καὶ Ἀχελῴου Σειρῆνες, περὶ ὧν ἐν τοῖς περὶ Ὀδυσσέως ἐροῦμεν 18 cod. ἦδεν 27 cod. πλακταὶ 28 [Τυφῶνος ἢ Φόρκου? an Τριαίνου?] 30 [dele τῷ σκοπέλῳ] 31 τρὶς? 32 cod. πλακτὰς

ἀπλοίᾳ κατασχεθεὶς ἔμεινεν αὐτοῦ. τῶν δὲ ἑταίρων σφαξάντων ἐκ τῶν βοῶν καὶ θοινησαμένων λειφθέντων τροφῆς, Ἥλιος ἐμήνυσε Διί, καὶ ἀναχθέντα κεραυνῷ ἔβαλε. λυθείσης δὲ τῆς νεὼς Ὀδυσσεὺς τὸν ἱστὸν κατασχὼν παραγίνεται εἰς τὴν Χάρυβδιν. τῆς δὲ Χαρύβδεως καταπινούσης τὸν ἱστόν, ἐπιλαβόμενος ὑπερπεφυκότος ἐρινεοῦ περιέμεινε. καὶ πάλιν ἀνεθέντα τὸν ἱστὸν θεωρήσας ἐπὶ τοῦτον ῥίψας εἰς Ὠγυγίαν νῆσον διεκομίσθη. ἐκεῖ δὲ ἀποδέχεται Καλυψὼ θυγάτηρ Ἄτλαντος καὶ συνευνασθεῖσα γεννᾷ παῖδα Λατῖνον. μένει δὲ παρ' αὐτῇ πενταετίαν καὶ σχεδίαν ποιήσας ἀποπλεῖ. ταύτης δὲ ἐν τῷ πελάγει διαλυθείσης ὀργῇ Ποσειδῶνος, γυμνὸς πρὸς Φαίακας ἐκβράσσεται. Ναυσικάα δὲ ἡ τοῦ βασιλέως θυγάτηρ Ἀλκινόου || f. 121a πλύνουσα τὴν ἐσθῆτα ἱκετεύσαντα αὐτὸν ἄγει πρὸς Ἀλκίνοον, ὃς αὐτὸν ξενίζει καὶ δῶρα δοὺς μετὰ πομπῆς αὐτὸν εἰς τὴν πατρίδα ἐξέπεμψε. Ποσειδῶν δὲ Φαίαξι μηνίσας τὴν μὲν ναῦν ἀπελίθωσε, τὴν δὲ πόλιν ὄρει περικαλύπτει. Ὀδυσσεὺς δὲ παραγενόμενος εἰς τὴν πατρίδα εὑρίσκει τὸν οἶκον διεφθαρμένον· νομίσαντες γὰρ αὐτὸν τεθνάναι Πηνελόπην ἐμνῶντο ἐκ Δουλιχίου μὲν νζ', Ἀμφίνομος, Θόας, Δημοπτόλεμος, Ἀμφίμαχος, Εὐρύαλος, Πάραλος, Εὐηνορίδης, Κλύτιος, Ἀγήνωρ, Εὐρύπυλος, Πυλαιμένης, Ἀκάμας, Θερσίλοχος, Ἅγιος, Κλύμενος, Φιλόδημος, Μενεπτόλεμος, Δαμάστωρ, Βίας, Τέλμιος, Πολύιδος, Ἀστύλοχος, Σχέδιος, Ἀντίγονος, Μάρψιος, Ἰφιδάμας, Ἀργεῖος, Γλαῦκος, Καλυδωνεύς, Ἐχίων, Λάμας, Ἀνδραίμων, Ἀγέρωχος, Μέδων, Ἄγριος, Πρόμος, Κτήσιος, Ἀκαρνάν, Κύκνος, Ψηρᾶς, Ἑλλάνικος, Περίφρων, Μεγασθέντης, Θρασυμήδης, Ὀρμένιος, Διοπίθης, Μηκιστεύς, Ἀντίμαχος, Πτολεμαῖος, Λεστορίδης, Νικόμαχος, Πολυποίτης, Κεραός. ἐκ δὲ Σάμης κγ', Ἀγέλαος, Πείσανδρος, Ἔλατος, Κτήσιππος, Ἱππόδοχος, Εὐρύστρατος, Ἀρχέμολος, Ἴθακος, Πεισήνωρ, Ὑπερήνωρ, Φεροίτης, Ἀντισθένης, Κέρβερος, Περιμήδης, Κῦννος, Θρίασος, Ἐτεωνεύς, Κλύτιος, Πρόθοος, Λυκάεθος, Εὔμηλος, Ἴτανος, Λύαμμος. ἐκ δὲ Ζακύνθου μδ', Εὐρύλοχος, Λαομήδης, Μόλεβος, Φρένιος, Ἴνδιος, Μίνις, Λαό-

2 cod. ληφθέντων 3 cod. ἐμήνισε 6 cod. ὑπερφυκότος 13 seq. cod. ὅσαυτὸν 14 αὐτὸν dittographia? 15 cod. Ποσειδὼν 19 cod. νζ' sic: sunt νγ' 20 extr. cod. εὐρύπιλος 21 Πυλαιμένης] cod. παλαιμένης 23 cod. Ἀνήγονος 25 cod. Ἀκαρνᾶν | Ψυρᾶς? 26 Μεγασθένης an Μεγαπένθης? | cod. θρασυμίδης | Διοπείθης non necessarium 27 Νεστορίδης? 29 cod. Εὐρύστατος | Ἀρχέμορος? Ἀρχέμαχος? 30 Φιλοίτιος? 32 Λύκαιθος? | cod. εὔμιλος | [Ἴταμος?] | cod. sic μδ': sunt μα' 33 Μούλιος? | Φήμιος? | Μύνης?

κριτος, Πρόνομος, Νίσας, Δαήμων, Ἀρχέστρατος, Ἱππόμαχος, Εὐρύαλος, Περίαλλος, Εὐηνορίδης, Κλύτιος, Ἀγήνωρ, Πόλυβος, Πολύδωρος, Θαδύτιος, Στράτιος, Φρένιος, Ἴνδιος, Δαισήνωρ, Λαομέδων, Λαόδικος, Ἅλιος, Μάγνης, Ὀλοίροχος, Βάρθας, Θεόφρων, Νισσαῖος, Ἀλκάροψ, Περικλύμενος, Ἀντήνωρ, Πέλλας, Κέλτος, Περίφας, Ὄρμενος, Πόλυβος, Ἀνδρομήδης. ἐκ δὲ αὐτῆς Ἰθάκης ἦσαν οἱ μνηστευόμενοι ιβ′ οἵδε· Ἀντίνοος, Πρόνοος, Λειώδης, Εὐρύνομος, Ἀμφίμαχος, Ἀμφίαλος, Πρόμαχος, Ἀμφιμέδων, Ἀρίστρατος, Ἕλενος, Δουλιχιεύς, Κτήσιππος. οὗτοι πορευόμενοι εἰς τὰ βασίλεια δαπανῶντες τὰς Ὀδυσσέως ἀγέλας εὐωχοῦντο. Πηνελόπη δὲ ἀναγκαζομένη τὸν γάμον ὑπέσχετο ὅτε τὸ ἐντάφιον Λαέρτῃ πέρας ἕξει, καὶ τοῦτο ὕφηνεν ἐπὶ ἔτη τρία, μεθ' ἡμέραν μὲν ὑφαίνουσα, νύκτωρ δὲ ἀναλύουσα. τοῦτον τὸν τρόπον ἐξηπατῶντο οἱ μνηστῆρες ὑπὸ τῆς Πηνελόπης μέχρις ὅτε ἐφωράθη. Ὀδυσσεὺς δὲ μαθὼν τὰ κατὰ τὴν οἰκίαν ὡς ἐπαίτης πρὸς Εὔμαιον οἰκέτην ἀφικνεῖται καὶ Τηλεμάχῳ ἀναγνωρίζεται καὶ παραγίνεται εἰς τὴν πόλιν. Μελάνθιος δὲ αὐτοῖς συντυχὼν ὁ αἰπόλος οἰκέτης ὑπάρχων ἀτιμάζει.
f. 121b παραγενόμενος δὲ εἰς τὰ βασίλεια τοὺς || μνηστῆρας μετῄτει τροφήν, καὶ εὑρὼν μεταίτην Ἶρον καλούμενον διαπαλαίει αὐτῷ. Εὐμαίῳ δὲ μηνύσας ἑαυτὸν καὶ τῷ παιδὶ Φιλοιτίου μετὰ τούτου καὶ Τηλεμάχου τοῖς μνηστῆρσιν ἐπιβουλεύει. Πηνελόπη δὲ τοῖς μνηστῆρσι τίθησιν Ὀδυσσέως τόξον, ὃ παρὰ Ἰφίτου ποτὲ ἔλαβεν, καὶ τῷ τοῦτο τείναντι φησὶ συνοικήσειν. μηδενὸς δὲ τεῖναι δυναμένου, δεξάμενος Ὀδυσσεὺς τοὺς μνηστῆρας κατετόξευσε σὺν Εὐμαίῳ καὶ Φιλοιτίῳ καὶ Τηλεμάχῳ. ἀνεῖλε δὲ καὶ Μελάνθιον καὶ τὰς συνευναζομένας τοῖς μνηστῆρσι θεραπαίνας, καὶ τῇ γυναικὶ καὶ τῷ πατρὶ ἀναγνωρίζεται. θύσας δὲ Ἅιδῃ καὶ Περσεφόνῃ καὶ Τειρεσίᾳ, πεζῇ διὰ τῆς Ἠπείρου βαδίζων εἰς Θεσπρωτοὺς παραγίνεται καὶ κατὰ τὰς Τειρεσίου μαντείας θυσιάσας ἐξιλάσκεται Ποσειδῶνα. ἡ δὲ βασιλεύουσα τότε Θεσπρωτῶν Καλλιδίκη καταμένειν αὐτὸν ἠξίου τὴν βασιλείαν αὐτῷ δοῦσα. καὶ συνελθοῦσα αὐτῷ γεννᾷ Πολυποίτην. γήμας δὲ Καλλιδίκην Θεσπρωτῶν ἐβασίλευσε καὶ μάχῃ τῶν περιοίκων νικᾷ τοὺς ἐπιστρατεύσαντας. Καλλιδίκης δὲ ἀποθανούσης, τῷ παιδὶ τὴν βασιλείαν ἀποδιδοὺς εἰς Ἰθάκην παραγίνεται καὶ

1 cod. Ἀρχέστατος 2 cod. Περίαλχος 3 [Θαλύτιος?] | Φήμιος? vide p. 179 v. 33 | cod. δαισίνωρ 4 [Ὀλοίτροχος?] 5 cod. πέλας 9 cod. ἕλενος 13 cod. μεθημέραν 15 cod. ἐφοράθη 21 καὶ Φιλοιτίῳ? 30 cod. εἰρεσίου 33 [διδοῦσα]

εὑρίσκει ἐκ Πηνελόπης Πολιπόρθην αὐτῷ γεγεννημένην. Τηλέγονος δὲ (ὁ ἐκ τῆς Κίρκης υἱὸς Ὀδυσσέως) παρὰ Κίρκης μαθὼν ὅτι παῖς Ὀδυσσέως ἐστίν, ἐπὶ τὴν τούτου ζήτησιν ἐκπλεῖ. παραγενόμενος δὲ εἰς Ἰθάκην τὴν νῆσον ἀπέλαβέ τινα τῶν βοσκημάτων, καὶ Ὀδυσσέα βοηθοῦντα τῷ μετὰ χεῖρας δόρατι Τηλέγονος κέντρον τὴν αἰχμὴν ἔχοντι τιτρώσκει, καὶ Ὀδυσσεὺς θνήσκει. ἀναγνωρισάμενος δὲ αὐτὸν καὶ πολλὰ κατοδυράμενος τὸν νεκρὸν τὴν Πηνελόπην πρὸς Κίρκην ἄγει, κἀκεῖ τὴν Πηνελόπην γαμεῖ. Κίρκη δὲ ἑκατέρους αὐτοὺς εἰς Μακάρων νήσους ἀποστέλλει. τινὲς δὲ Πηνελόπην ὑπὸ Ἀντινόου φθαρεῖσαν λέγουσιν ὑπὸ Ὀδυσσέως πρὸς τὸν πατέρα Ἰκάριον ἀποσταλῆναι, γενομένης δὲ τῆς Ἀρκαδίας κατὰ μαντείαν ἐξ Ἑρμοῦ τεκεῖν Πᾶνα. ἄλλοι δὲ δι' Ἀμφίνομον ὑπὸ Ὀδυσσέως αὐτὸν τελευτῆσαι· διαφθαρῆναι γὰρ αὐτὴν ὑπὸ τούτου λέγουσιν. εἰσὶ δὲ οἱ λέγοντες ἐγκαλούμενον Ὀδυσσέα ὑπὸ τῶν οἰκείων ὑπὲρ τῶν ἀπολωλότων δικαστὴν Νεοπτόλεμον λαβεῖν τὸν βασιλεύοντα τῶν κατὰ τὴν Ἤπειρον νήσων, τοῦτον δὲ νομίσαντα ἐκποδὼν Ὀδυσσέως γενομένου Κεφαλληνίαν καθέξειν κατα||κρῖναι φυγὴν αὐτοῦ, Ὀδυσσέα δὲ εἰς Αἰτωλίαν f. 122a
πρὸς Θόαντα τὸν Ἀνδραίμονος παραγενόμενον τὴν τούτου θυγατέρα γῆμαι καὶ καταλιπόντα παῖδα Λεοντοφόνον ἐκ ταύτης γηραιὸν τελευτῆσαι.

## Ἱστορία περὶ τοῦ Μινωταύρου.

Μίνως ὁ Διὸς υἱὸς βασιλεύειν θέλων Κρήτης ἐκωλύετο. φήσας δὲ παρὰ θεῶν τὴν βασιλείαν εἰληφέναι τοῦ πιστευθῆναι χάριν ἔφη, εἴτι ἂν εἴρηται γένηται. καὶ Ποσειδῶνι θύων ηὔ(ξα)το ταῦρον ἀναφανῆναι ἐκ τῶν βυθῶν, καταθύσειν ὑποσχόμενος τὸν φανέντα. τοῦ δὲ Ποσ(ειδ)ῶνος ταῦρον ἀνέντος αὐτῷ διαπρεπῆ τὴν βασιλείαν παρέλαβε, τὸν δὲ ταῦρον εἰς τὰ βουκόλια πέμψας ἔθυσεν (ἕτ)ερον. θαλαττοκρατήσας δὲ πρῶτος πασῶν τῶν νήσων σχεδὸν ἐπῆρξεν. ὀργισθεὶς δὲ αὐτῷ Ποσειδῶν ὅτι μὴ κατέθυσε τὸν ταῦρον, τοῦτον μὲν ἐξηγρίωσε, Πασι-

1 cod. γεγενημένην 2 cod. quae uncis inclusi in margine habet 4 cod. ἀπέλαυε τινὰ [ἀπελαύνει?] 6 [τρυγόνος κέντρον] 12 [γενομένην] | cod. Ἀρκαδίας. κατὰ μαντείαν [lege Μαντίνειαν] 13 cod. Πάνα 14 [αὐτοῦ?] 18 cod. ἐκποδῶν | cod. κεφαληνίαν 19 cod. κατακρίναι 20 cod. Θόεντα 24—p. 182, 11 Apollod. III 1, 3 24 ὁ Διὸς υἱὸς desunt in ed. 26 ed. χάριν ante τοῦ | Mueller ὅ τι | εὔξηται γενέσθαι ed. γενήσεσθαι Hercher 27 ed. καταθύσειν post ὑποσχόμενος 31 ἐπῆρξεν cod. ut coniecit Bekker 31 cod. ποσειδῶν

φάην δὲ ἐλθεῖν εἰς ἐπιθυμίαν αὐτοῦ παρεσκεύασεν. ἡ δὲ ἐρασθεῖσα τοῦ ταύρου συνεργὸν λαμβάνει Δαίδαλον, ὃς ἦν ἀρχιτέκτων πεφευγὼς ἐξ Ἀθηνῶν ἐπὶ φόνῳ. οὗτος ξυλίνην βοῦν ἐπὶ τροχῶν κατασκευάσας καὶ ταύτην βαλὼν κοιλάνας ἔνδοθεν, ἐκδείρας τε βοῦν τὴν δορὰν περιέρραψε, καὶ θεὶς ἐν ᾧπερ εἴθιστο ὁ ταῦρος λειμῶνι βόσκεσθαι τὴν Πασιφάην ἐνεβίβασεν. ἐλθὼν δὲ ὁ ταῦρος ὡς ἀληθινῇ βοΐ συνῆλθεν. ἣ δὲ Ἀστέριον ἐγέννησε τὸν κληθέντα Μινώταυρον. οὗτος εἶχε ταύρου πρόσωπον, τὰ δὲ λοιπὰ ἀνδρός. Μίνως δὲ ἐν τῷ λαβυρίνθῳ κατά τινας χρησμοὺς κατακλείσας Μινώταυρον ἐφύλαττεν. ἦν δὲ ὁ λαβύρινθος ὃν Δαίδαλος κατεσκεύασεν οἴκημα καμπαῖς πολυπλόκοις πλανῶν τὴν ἔξοδον, ἐν ᾧ τὸν εἰσελθόντα ἀδύνατον ἦν ἐξιέναι. κατεσκευάκει δὲ αὐτὸν Δαίδαλος ὁ Εὐπαλάμου παῖς τοῦ Μητίονος καὶ Ἀλκίππης. οὗτος ἦν ἀρχιτέκτων ἄριστος καὶ πρῶτος ἀγαλμάτων εὑρετής. οὗτος ἐξ Ἀθηνῶν ἔφυγεν, ἀπὸ τῆς ἀκροπόλεως βαλὼν τὸν τῆς ἀδελφῆς Πέρδικος υἱὸν Τάλω μαθητὴν ὄντα, δείσας μὴ διὰ τὴν εὐφυΐαν αὐτὸν ὑπερβάλῃ· σιαγόνα γὰρ ὄφεως εὑρὼν ξύλον λεπτὸν ἔπρισε. φωραθέντος δὲ τοῦ νεκροῦ, κριθεὶς ἐν Ἀρείῳ πάγῳ καὶ καταδικασθεὶς πρὸς Μίνωα ἔφυγε, κἀκεῖ Πασιφάης ἐρασθείσης τοῦ Ποσειδῶνος ταύρου, συνήρτησεν ὡς ἄνωθεν εἴρηται τεχνησάμενος ξυλίνην βοῦν [καὶ τῷ ταύρῳ συνεμίγη τέξασα τὸν Μινώταυρον]. καὶ τὸν λαβύρινθον κατεσκεύασε κελεύσει Μίνωος κἀκεῖσε Μίνως ἐνέκλεισε τὸν Μινώταυρον, εἰς ὃν κατ' ἔτος Ἀθηναῖοι κόρους ἑπτὰ καὶ κόρας τὰς ἴσας τῷ Μινωταύρῳ βορὰν ἔπεμπον.

Θησεὺς δὲ γεννηθεὶς ἐξ Αἴθρας Αἰγεῖ παῖς * * γαμεῖ γὰρ Αἰγεὺς πρῶτον Μήταν τὴν Ὁπλῆτος, δευτέραν δὲ Χαλκιόπην τὴν Ῥηξήνορος. ὡς δὲ οὐκ ἐγίνετο παῖς αὐτῷ, ἐμαντεύετο.
f. 122b ὁ δὲ θεὸς ἔχρησεν αὐτῷ || τόνδε τὸν χρησμόν.

4 βαλὼν] λαβὼν Aegius | ed. καὶ κοιλάνας ἔσωθεν 9 Μινώταυρον] αὐτὸν ed. 11 ἐν ᾧ — 25 Αἰγεῖ παῖς Ap. III 15, 9 12 ἐξιέναι] ed. addunt πολυπλόκοις γὰρ καμπαῖς τὴν ἀγνοουμένην ἔξοδον ἀπέκλειε 16 cod. ἀτελωμαθητὴν 17 cod. ἔπρησε 18 cod. ἐναρείω | ed. πάγῳ καταδικασθεὶς 20 cod. bene συνήρτησεν: ed. e coni. Commelini συνήργησε | ὡς ἄνωθεν εἴρηται in ed. desunt 21 quae uncis saepsi desunt in ed. fortasse scholium interlineare | cod. συνεμίγει 22 κἀκεῖσε — Μινώταυρον desunt in ed. 24 κούρους ed. 25 cod. παῖς. γαμεῖ | γαμεῖ — p. 183, 13 διεφθάρη Apollod. III 15, 6 s. 26 Μήταν] cod. μεταυτὴν 27 ed. ἐγένετο παῖς αὐτῷ, δεδοικὼς τοὺς ἀδελφοὺς εἰς Πυθίαν ἦλθε καὶ περὶ παίδων γονῆς ἐμαντεύετο 28 τόνδε τὸν χρησμὸν desunt in editis

ἀσκοῦ τὸν προύχοντα ποδάονα, φέρτατε λαῶν,
μὴ λύσῃς πρὶν ἐς ἄκρον Ἀθηναίων ἀφίκηαι.

ἀπορῶν δὲ τὸν χρησμὸν ἀνῄει πάλιν εἰς Ἀθήνας. καὶ Τροιζῆνα διοδεύων ἐπιξενοῦται Πιτθεῖ τῷ Πέλοπος, ὃς τὸν χρησμὸν συνείς, μεθύσας αὐτὸν τῇ θυγατρὶ συγκατέκλινεν Αἴθρᾳ. τῇ δὲ αὐτῇ νυκτὶ καὶ Ποσειδῶν ἐπλησίασεν αὐτῇ. Αἰγεὺς δὲ ἐντειλάμενος Αἴθρᾳ, ἐὰν ἄρρενα γεννήσῃ τρέφειν τίνος ἐστὶ μὴ λέγουσαν, ἀπέλιπεν ὑπό τινα πέτραν μάχαιραν καὶ πέδιλα εἰπών, ὅταν ὁ παῖς δύνηται τὴν πέτραν ἀποκυλίσας ἀνελέσθαι ταῦτα, τότε μετ' αὐτῶν αὐτὸν ἀποπέμπειν. αὐτὸς δὲ ἧκεν εἰς Ἀθήνας καὶ τὸν τῶν παναθηναίων ἀγῶνα ἐπετέλει, ἐν ᾧ ὁ Μίνωος παῖς Ἀνδρόγεως ἐνίκησε πάντας. τοῦτον Αἰγεὺς ἐπὶ τὸν Μαραθώνιον ἔπεμψε ταῦρον, ὑφ' οὗ διεφθάρη.

Ὡς δ' ὁ Θησεὺς ἐξ Αἴθρας ἐγεννήθη τέλειος, ἀπωσάμενος τὴν πέτραν τὰ πέδιλα καὶ τὴν μάχαιραν ἀναιρεῖται καὶ πεζὸς ἠπείγετο εἰς τὰς Ἀθήνας. πόδας γὰρ ἔχων βριαροὺς οὗτος ἐφόρει κορύνην σιδηρᾶν, ἣν ἀπὸ τὸν Ἡφαίστου Περιφήτην ἔλαβεν. ἔκτεινε δὲ πάντας καὶ κατετροπώσατο τοὺς ἀντιπράττοντας ἥρωας καὶ πάντας τοὺς ληστρικὸν μετιόντας βίον. Μήδεια Αἰγεῖ τότε συνοικοῦσα Ἀθήναις ἐπεβούλευσεν αὐτῷ, καὶ πείθει τὸν Αἰγέα φυλάττεσθαι ὡς ἐπίβουλον αὐτοῦ. Αἰγεύς δὲ τὸν ἴδιον ἀγνοῶν παῖδα, δείσας αὐτὸν ὡς βριαρὸν ὄντα, ἐπὶ τὸν Μαραθώνιον ἔπεμψε ταῦρον ἀναλωθῆναι ὑπ' αὐτοῦ. ὡς δ' ὁ Θησεὺς ἀνεῖλεν αὐτόν, παρὰ Μηδείας λαβὼν αὐθημερὸν προσήνεγκεν αὐτῷ φάρμακον. ὃ δὲ μέλλοντος αὐτῷ τοῦ ποτοῦ προςφέρεσθαι ἐδωρήσατο τῷ πατρὶ τὸ ξίφος, ὅπερ Αἰγεὺς ἐπιγνοὺς τὴν κύλικα ἐξέρριψε τῶν χειρῶν αὐτοῦ. Θησεὺς δὲ ἀναγνωρισθεὶς τῷ πατρὶ καὶ τὴν ἐπιβουλὴν μαθὼν ἐξέβαλε τὴν Μήδειαν καὶ εἰς τὸν τρίτον δασμὸν τῷ Μινωταύρῳ συγκαταλέγει βοράν. ἐξέπλει δ' εἰς Κρήτην καὶ ἧκεν. Ἀριάδνη γοῦν ἡ Μίνωος θυγάτηρ ἐρωτικῶς τῷ Θησεῖ διατεθεῖσα συμπράσσειν ἐπαγγέλλεται πρὸς τὴν Μινωταύρου εἰσέλευσιν λαβυρίνθου, ἐὰν ὁμολογήσῃ γυναῖκα αὐτὴν ἕξειν. ὁμολογήσαντος δὲ σὺν ὅρκοις Θησέως, δεῖται Δαιδάλου μηνῦσαι τοῦ λαβυρίνθου τὴν ἔξοδον. ὑποθεμένου δὲ ἐκείνου, λίνον εἰσιόντι Θησεῖ δίδωσι. τοῦτο ἐξάψας τῆς θύρας Θησεὺς ἐφελκόμενος εἰσῄει. κατα-

1 cod. ἀσκοῦτον | ed. πόδα μέγα 2 cod. εἰς 4 cod. πειθεῖταυπέλοπος 6 cod. Ποσειδὼν 7 ed. τρέφειν καὶ τίνος ἐστὶ μὴ λέγειν 8 cod. ἀπέλιπε δὲ | ed. ὑπό τινι πέτρᾳ 10 cod. ἧκεν 14—19 Apoll. III 16, 1 17 [nota structuram noviciam] 20 [Ἀθήνησι?] 21 [αὐτόν?] 30 cod. ἧκεν. epitomatoris abruptum hoc et γοῦν cf. p. 174, 19

λαβὼν δὲ Μινώταυρον ἐν ἐσχάτῳ μέρει τοῦ λαβυρίνθου, παίων πυγμαῖς ἀπέκτεινεν αὐτόν. ἐφελκόμενος δὲ τὸ λίνον πάλιν ἐξῄει καὶ διὰ νυκτὸς μετὰ Ἀριάδνης καὶ τῶν παίδων εἰς Νάξον ἀφικνεῖται, ἔνθα Διόνυσος ἐρασθεὶς Ἀριάδνης ἥρπασε καὶ κομίσας εἰς Λῆμνον ἐμίγη, καὶ γεννᾷ Θόαντα Στάφυλον Οἰνοπίωνα καὶ Πάρηθον.

f. 123ª || Περὶ τῆς διαβολῆς Φαίδρας εἰς Ἱππόλυτον.

Θησεὺς παραλαβὼν τὴν Ἀθηναίων δυναστείαν τοὺς μὲν Πάλλαντος παῖδας πεντήκοντα τὸν ἀριθμὸν ἀπέκτεινεν· ὁμοίως δὲ καὶ ὅσοι ἀντᾶραι ἤθελον παρ' αὐτοῦ ἀπεκτάνθησαν καὶ τὴν ἀρχὴν ἅπασαν ἔσχε μόνος. συστρατευσάμενος δὲ ἐπὶ Ἀμαζόνας Ἡρακλεῖ ἥρπασεν Ἀντιόπην, ὡς δέ τινες Μελανίππην, Σιμωνίδης δὲ Ἱππολύτην. διὸ ἐστράτευσαν ἐπ' Ἀθήνας Ἀμαζόνες. καὶ στρατευσαμένας αὐτὰς περὶ τὸν Ἄρειον πάγον Θησεὺς μετὰ Ἀθηναίων ἐνίκησεν. ἔχων δὲ ἐκ τῆς Ἀμαζόνος παῖδα Ἱππόλυτον λαμβάνει μετὰ ταῦτα παρὰ Δευκαλίωνος Φαίδραν τὴν Μίνωος θυγατέρα, ἧς ἐπιτελουμένων τῶν γάμων, Ἀμαζὼν ἡ προγαμηθεῖσα Θησεῖ τοὺς συγκατακειμένους σὺν ταῖς μεθ' ἑαυτῆς Ἀμαζόσιν ἐπιστᾶσα σὺν ὅπλοις κτείνειν ἔμελλεν. οἳ δὲ κλείσαντες διὰ τάχους τὰς θύρας ἀπέκτειναν αὐτήν. τινὲς δὲ μαχομένην αὐτὴν ὑπὸ Θησέως λέγουσιν ἀποθανεῖν. Φαίδρα δὲ γεννήσασα Θησεῖ δύο παιδία, Ἀκάμαντα καὶ Δημοφῶντα, ἐρᾷ Ἱππολύτου καὶ δεῖται συνελθεῖν. ὃ δὲ μισῶν πάσας τὰς γυναῖκας τὴν συνουσίαν ἔφυγεν. ἡ δὲ Φαίδρα δείσασα μὴ τῷ πατρὶ διαβάλῃ, κατασχίσασα τὰς τοῦ θαλάμου θύρας καὶ τὰς ἐσθῆτας σπαράξασα κατεψεύσατο Ἱππολύτου βίαν. Θησεὺς δὲ πιστεύσας ηὔξατο Ποσειδῶνι Ἱππόλυτον διαφθαρῆναι. ὃ δὲ θέοντος αὐτοῦ ἐπὶ ἅρματος καὶ παρὰ τῇ θαλάσσῃ ὀχουμένου ταῦρον ἀνῆκεν ἐκ τοῦ κλύδωνος. πτοηθέντων δὲ τῶν ἵππων, κατεάχθη τὸ ἅρμα. ἐμπλακεὶς δὲ Ἱππόλυτος συρόμενος ἀπέθανε. γενομένου δὲ τοῦ ἔρωτος περιφανοῦς, ἑαυτὴν ἀνήρτησε Φαίδρα: — Ὁ Ζεὺς ἐξ Αἰγίνης γεννᾷ Αἰακόν· ἣν Αἴγιναν ἁρπάσας ὁ Ζεὺς εἰς Νᾶσον τὴν νῆσον, νῦν δὲ Αἴγιναν ἀπ' ἐκείνης κληθεῖσαν, ἐκόμισεν. ἐκεῖ ταύτῃ μίγνυται καὶ γεννᾷ ἐξ αὐτῆς Αἰακόν. τούτῳ Ζεὺς ὄντι μόνῳ ἐν τῇ νήσῳ τοὺς μύρμηκας ἀνθρώπους ἐποίησε συνεῖναι μετὰ Αἰακοῦ. ἦν δὲ εὐσε-

3 cod. Νᾶξον 5 cod. οἰνωπίονα 6 [puto Πεπάρηθον] 9 cod. πάλλαντας 12 cod. σιμωνίτης 14 [στρατοπεδευσαμένας?] 16 cod. παραδευκαλίωνος 21 cod. ὑποθησέως 30 cod. συνόμενος 32 sic cod. ὁ Ζεὺς — 36 μετὰ Αἰακοῦ Apoll. III 12, 6, 6 33 cod. Νᾶσον pro Οἰνώνην 36 ἦν δὲ — p. 185, 5 ἀπαλλάττεται Ap. III 12, 6, 9 s.

βέστατος Αἰακὸς πάντων ἀνθρώπων. διὸ καὶ τὴν Ἑλλάδα κατεχούσης ἀνάγκης καὶ λιμοῦ λοιμοῦ καὶ φθορᾶς, χρησμοὶ θεῶν ἔλεγον ἀπαλλαγήσεσθαι τῶν ἐνεστώτων κακῶν τὴν Ἑλλάδα, ἐὰν Αἰακὸς ὑπὲρ αὐτῆς εὐχὰς ποιήσηται. ποιησαμένου δὲ εὐχὰς Αἰακοῦ, τῆς κατεχούσης ὀργῆς ἡ Ἑλλὰς ἀπαλλάττεται. γαμεῖ δὲ Αἰακὸς Ἐνδηίδα τὴν Σκείρωνος, ἐξ ἧς ἐγένοντο παῖδες αὐτῷ Πηλεὺς καὶ Τελαμών. Φερεκύδης δέ φησι Τελαμῶνα φίλον, οὐκ ἀδελφὸν Πηλέως εἶναι, ἀλλ' Ἀκταίου παῖδα καὶ Γλαύκης τῆς Κυχρέως εἰς φώκην ἠλλαγμένης. τιμᾶται δὲ Αἰακὸς παρὰ Πλούτωνι μετὰ τελευτὴν καὶ τὰς κλεῖς τοῦ Ἅιδου φυλάττει. γαμεῖ δὲ Πηλεὺς Ἀντιγόνην Εὐρυτίωνος Ἄκτορος θυγατέρα, ἐξ ἧς γίνεται θυγάτηρ αὐτῷ Πολυδώρα. γαμεῖ δ' αὖθις Θέτιν τὴν Νηρέως, περὶ ἧς τοῦ γάμου Ζεὺς καὶ Ποσειδῶν ἤρισαν. γαμεῖ δὲ ταύτην ἐν τῷ Πηλίῳ, κἀκεῖ θεοὶ τὸν γάμον εὐωχούμενοι καθύμνησαν. καὶ δίδωσι Χείρων Πηλεῖ δόρυ μείλινον, Ποσειδῶν δὲ ἵππους Βάλιον καὶ Ξάνθον. ἀθάνατοι δὲ || ἦσαν οὗτοι οἱ ἵπποι. ὡς δὲ ἐγέννησε Θέτις ἐκ Πηλέως βρέφος, ἀθάνατον θέλουσα ποιῆσαι τοῦτο, κρύφα f. 123b
Πηλέως εἰς τὸ πῦρ ἐγκρύβουσα τῆς νυκτὸς ἔφθειρεν ὃ ἦν αὐτῷ θνητὸν πατρῷον, μεθ' ἡμέραν δὲ ἔχριεν ἀμβροσίᾳ. Πηλεὺς δὲ ἐπιτηρήσας καὶ σπαίροντα τὸν παῖδα ἰδὼν ἐπὶ τοῦ πυρὸς ἐβόησε· καὶ Θέτις κωλυθεῖσα τὴν προαίρεσιν τελειῶσαι, νήπιον τὸν παῖδα ἀπολιποῦσα πρὸς Νηρηίδας ᾤχετο. κομίζει δὲ τὸν παῖδα πρὸς Χείρωνα Πηλεύς. ὁ δὲ λαβὼν αὐτὸν ἔτρεφε σπλάγχνοις λεόντων καὶ συῶν ἀγρίων καὶ ἄρκτων μυελοῖς, καὶ ὠνόμασεν Ἀχιλλέα. ὡς δὲ ἐγένετο ἐνναέτης Ἀχιλλεύς, Κάλ-

1 ed. ἁπάντων 2 ἀνάγκης — φθορᾶς] ed. ἀφορίας 5 τῆς κατεχούσης ὀργῆς] ed. τῆς ἀκαρπίας 6 γαμεῖ δὲ — 9 ἠλλαγμένης III 12, 6, 7 | cod. σκάρωνος | ed. ἐξ ἧς αὐτῷ παῖδες ἐγένοντο 9 cod. γλαύκας | ed. Κυχρέως. μίγνυται δὲ αὖθις Αἰακὸς Ψαμάθῃ τῇ Νηρέως εἰς φώκην ἠλλαγμένῃ διὰ τὸ μὴ βούλεσθαι συνελθεῖν, καὶ τεκνοῖ παῖδα Φῶκον | cod. ἠλαγμένης | τιμᾶται — 11 φυλάττει III 12, 6, 10 | ed. δὲ καὶ παρὰ Πλούτωνι τελευτήσας Αἰακὸς 11 cod. φυλάττειν | γαμεῖ δὲ — 12 Πολυδώρα Ap. III 13, 1 | [τοῦ Ἄκτορος] 12 cod. πολυδῶρα | γαμεῖ Ap. III, 13, 5 13 ed. αὖθις δὲ γαμεῖ | cod. Ποσειδὼν 14 ἤρισαν. γαμεῖ] ed. ἤρισαν, Θέμιδος κτλ. ἀπολαβοῦσαν. γαμεῖ δὲ ἐν τῷ | cod. πηλέω 16 cod. μήλινον | cod. ποσειδὼν | ed. Βαλίον τε καὶ 17 ed. deest οἱ ἵπποι 19 cod. sic ἐγκρύβουσα 21 ed. ἀσπαίροντα 22 cod. καὶ θέτιδι 23 cod. νηρεΐδας 24 cod. χείρονα 26 ed. add. Ἀχιλλέα (πρότερον μὲν ἦν ὄνομα αὐτῷ Λιγύρων) ὅτι τὰ χείλη μαστοῖς οὐ προσήνεγκε | ed. ἐνναετὴς

χαντος τοῦ μάντεως λέγοντος οὐ δύνασθαι χωρὶς αὐτοῦ Τροίαν αἱρεθῆναι, Θέτις προειδυῖα ὅτι δεῖ στρατευόμενον αὐτὸν ἀπολέσθαι, κρύψασα ἐσθῆτι γυναικείᾳ ὡς παρθένον Λυκομήδει παρέθετο. κἀκεῖ τρεφόμενος τῇ Λυκομήδους θυγατρὶ Δηιδαμείᾳ μίγνυται, καὶ γίνεται παῖς Πύρρος αὐτῷ ὁ κληθεὶς Νεοπτόλεμος αὖθις. Ὀδυσσεὺς δὲ μηνυθέντα παρὰ Λυκομήδει τὸν Ἀχιλλέα σάλπιγγι χρησάμενος εὗρε. καὶ τοῦτον τὸν τρόπον εἰς Τροίαν ἦλθε. συνείπετο δὲ αὐτῷ Φοῖνιξ ὁ Ἀμύντορος. οὗτος ὑπὸ τοῦ πατρὸς ἐτυφλώθη, καταψευσαμένης φθορὰν Φθίας τῆς τοῦ πατρὸς παλλακῆς. Πηλεὺς δὲ αὐτὸν πρὸς Χείρωνα κομίσας, ὑπ' ἐκείνου θεραπευθέντα τὰς ὄψεις βασιλέα κατέστησε Δολόπων.

f. 124a || Κτήτορες τῆς Ἰλίου τε καὶ Τροίας
καὶ τῶν ἐποίκων αὐτῶν.

Δάρδανος ὁ ἐκ τῆς Ἠλέκτρας τῆς Ἄτλαντος τῷ Διὶ γεγονὼς υἱός, Σαμοθρᾴκην ἀπολιπὼν εἰς τὴν ἀντίπερα ἤπειρον ἦλθε. ταύτης δὲ ἐβασίλευε Τεῦκρος ποταμοῦ Σκαμάνδρου καὶ νύμφης Ἰδαίας. ὑποδεχθεὶς ὑπὸ τοῦ βασιλέως καὶ λαβὼν μέρος τῆς γῆς καὶ τὴν ἐκείνου θυγατέρα Βάτειαν, Δάρδανον ἔκτισε πόλιν. τελευτήσαντος δὲ Τεύκρου, τὴν χώραν ἅπασαν Δαρδανίαν ἐκάλεσε. γενομένων δὲ αὐτῷ παίδων Ἴλου καὶ Ἐριχθονίου, Ἶλος μὲν ἄπαις ἀπέθανεν, Ἐριχθόνιος δὲ διαδεξάμενος τὴν βασιλείαν, γήμας Ἀστυόχην τὴν Σιμόεντος τεκνοῖ Τρῶα. οὗτος παραλαβὼν τὴν βασιλείαν τὴν μὲν χώραν ἀφ' ἑαυτοῦ Τροίαν ἐκάλεσεν εἰς ὄνομα αὐτοῦ, καὶ γήμας Καλλιρόην τὴν Σκαμάνδρου γεννᾷ θυγατέρα μὲν Κλεοπάτραν, παῖδας δὲ Ἶλον καὶ Ἀσσάρακον καὶ Γανυμήδην. τοῦτον μὲν οὖν διὰ κάλλος ἀναρπάσας Ζεὺς δι' ἀετοῦ θεῶν οἰνοχόον ἐν οὐρανῷ κατέστησεν· Ἀσσαράκου δὲ καὶ Ἱερομνήμης τῆς Σιμόεντος Κάπυς, ᾧ δι' ἐρωτικὴν ἐπιθυμίαν Ἀφροδίτη συνελθοῦσα Αἰνείαν ἐγέννησε καὶ Λύρον, ὃς ἄπαις ἀπέθανεν. Ἶλος δὲ εἰς Φρυγίαν ἀφικόμενος καὶ καταλαβὼν ὑπὸ τοῦ βασιλέως αὐτόθι τεθειμένον ἀγῶνα νικᾷ πάλην. καὶ λαβὼν ἆθλον πεντήκοντα κόρους καὶ κόρας τὰς ἴσας, δόντος αὐτῷ τοῦ βασιλέως κατὰ χρησμὸν καὶ βοῦν

1 ed. deest τοῦ μάντεως 3 ed. deest Λυκομήδει. Heyne supplevit εἰς Σκύρον παρὰ Λυκομήδει 6 cod. μηνυθέντος | τὸν cod. ζητῶν ed. 10 ed. παλλακίδος 11 cod. θεραπευθέντος 13 cod. τὲ 15 cf. Apoll. III 12, 1 | cod. λέκτρας 18 Ἰδαίας] cod. ἱδρυίας | ed. ὑποδεχθεὶς δὲ 22 cod. ἴλος μὲν 25 εἰς ὄ. αὐτοῦ desunt in editis, cod. αὐτοῦ 26 cod. ἴλον 27 cod. γανυμίδην 28 cod. διὰἐτοῦ 29 cod. ἱερομνήμονος | Κάπυς] ed. add. τοῦ δὲ καὶ Θέμιδος τῆς Ἴλου Ἀγχίσης 31 cod. ἴλος 33 ed. κούρους

ποικίλην, καὶ φράσαντος ἐν ᾧπερ ἂν αὐτὴ κλιθῇ τόπῳ πόλιν κτίζειν, εἵπετο τῇ βοΐ. ἣ δὲ ἀφικομένη ἐπὶ τὸν λεγόμενον τῆς Φρυγίας Ἄτης λόφον κλίνεται· ἔνθα πόλιν κτίσας Ἶλος ταύτην μὲν Ἴλιον ἐκάλεσε, τῷ δὲ Διὶ σημεῖον εὐξάμενος αὐτῷ τι φανῆναι, μεθ' ἡμέραν τὸ διιπετὲς παλλάδιον πρὸ τῆς σκηνῆς κείμενον ἐθεάσατο. ἦν δὲ τῷ μεγέθει τρίπηχυ, τοῖς δὲ ποσὶ συμβεβηκὸς ἔχον, τῇ δὲ χειρὶ ἠλακάτην καὶ ἄτρακτον.

Ἱστορία δὲ ἡ περὶ τοῦ παλλαδίου τοιῆδε φέρεται. φησὶ γεννηθεῖσαν Ἀθηνᾶν παρὰ Τρίτωνι τρέφεσθαι, ᾧ θυγάτηρ ἦν Παλλάς· ἀμφοτέρας δὲ ἀσκούσας τὰ κατὰ πόλεμον εἰς φιλονεικίαν ποτὲ προελθεῖν, μελλούσης δὲ πλήσσειν τῆς Παλλάδος τὸν Δία φοβηθέντα τὴν αἰγίδα προτεῖναι, τὴν δὲ εὐλαβηθεῖσαν ἀναβλέψαι, καὶ οὕτως ὑπὸ τῆς Ἀθηνᾶς τρωθεῖσαν πεσεῖν. Ἀθηνᾶν δὲ περίλυπον ἐπ' αὐτῇ γενομένην, ξόανον ἐκείνης ὅμοιον κατασκευάσαι καὶ περιθεῖναι τοῖς στέρνοις ἣν ἔδεισεν αἰγίδα, καὶ τιμᾶν ἱδρυσαμένην παρὰ τῷ Διί. ὕστερον δὲ Ἠλέκτρας κατὰ τὴν φθορὰν τούτῳ προσφυγούσης, Δία ῥῖψαι μετ' αὐτῆς καὶ τὸ παλλάδιον εἰς τὴν Ἰλιάδα χώραν, Ἶλον δὲ τούτῳ ναὸν κατασκευάσαντα τιμᾶν. καὶ περὶ μὲν τοῦ παλλαδίου ταῦτα λέγεται. μετὰ δὲ τὸ αἱρεθῆναι Ἴλιον ὑπὸ Ἡρακλέους ἐβασίλευσε Ποδάρκης ὁ κληθεὶς Πρίαμος· καὶ γαμεῖ πρώτην Ἀρίσβην τὴν Μέροπος, ἐξ ἧς παῖς Αἴσακος γίνεται, ὃς ἔγημεν Ἀστερόπην τὴν Κεβρῆνος θυγατέρα, ἣν πενθῶν ἀποθανοῦσαν ἀπωρνεώθη. Πρίαμος δὲ Ἀρίσβην ἐκδοὺς Ὑρτάκῳ δευτέραν ἔγημεν Ἑκάβην τὴν Δύμαντος ἤ, ὥς τινες, Σαγγαρίου ποταμοῦ καὶ Μετώπης. γεννᾶται δὲ αὐτῷ πρῶτος μὲν Ἕκτωρ· δευτέρου δὲ γεννᾶσθαι μέλλοντος βρέφους ἔδοξεν Ἑκάβη καθ' ὕπνους δαλὸν || τεκεῖν διάπυρον, τοῦτον δὲ πᾶσαν ἐπινέμεσθαι τὴν f. 124b
πόλιν καὶ καίειν. μαθὼν δὲ Πρίαμος παρ' Ἑκάβης τὸ ὄνειρον,

2 cod. εἵπετο 3 cod. ἴλος 4 cod. τὶ 7 συμβεβηκὸς] ed. συμβεβηκὸς καὶ τῇ μὲν δεξιᾷ δόρυ διηρμένον ἔχον | χειρὶ] ed. ἑτέρᾳ | cod. ἠλεκάτην 8 cod. in marg. Περὶ τοῦ διιπετοῦς παλλαδίου ὁποῖον τὸ εἶδος καὶ τῆς περὶ αὐτοῦ τοῦ Ἴλου τιμῆς καὶ ἔτι τῆς αὐτοῦ γενεᾶς, τοῦ διιπετοῦς δηλονότι | cod. sic τοιῆδε 9 ed. τὴν Ἀθηνᾶν 12 cod. προσθεῖναι 15 cod. κατασκευάσ cum compendio ας: ed. κατασκευάσασαν 17 Bekker μετὰ | cod. διαρρίψαι 18 cod. ἴλον | ed. τούτου 20 μετὰ δὲ τὸ αἱρεθῆναι Ap. III 12, 5 | ed. Ἡρακλέους, ὡς μικρὸν πρόσθεν ἡμῖν λέλεκται 22 ed. ἧς αὐτῷ παῖς | cod. γήμας 23 cod. στερόπην 24 cod. ἐκδόμενος ὑρκακῆν 25 cod. δύματος | ed. post τινὲς add. φασὶ Κισσέως, ἢ ὡς ἕτεροι λέγουσι 26 cod. μετόπης | ed. αὐτῇ 27 ed. ὕπαρ 29 ed. τὸν ὄνειρον

Αἴσακον τὸν υἱὸν μετεπέμψατο· ἦν γὰρ ὀνειροκρίτης παρὰ τοῦ μητροπάτορος Μέροπος διδαχθείς. οὗτος εἰπὼν "τῆς πατρίδος μέλλει ὁ παῖς γενέσθαι ἀπώλεια", καὶ τὸ βρέφος ἐκθεῖναι ἀλλαχόθεν ἐκέλευσε. Πρίαμος δὲ ὡς ἐγεννήθη τὸ βρέφος, δίδωσιν ἐκθεῖναι οἰκέτῃ κομίσαντι εἰς Ἴδην. ὁ δὲ οἰκέτης Ἀγέλαος ὠνομάζετο. καὶ τέθεικεν αὐτὸ ἐν τῷ ὄρει βρωθῆναι ὑπὸ θηρίων. τὸ δὲ ἐκτεθὲν ὑπὸ τούτου βρέφος πέντε ἡμέρας ὑπὸ ἄρκτου ἐτράφη. ὃ δὲ σῳζόμενον εὑρὼν ἀναιρεῖται τοῦ ὄρους καὶ κομίσας ἐπὶ τῶν χωρίων ὡς ἴδιον παῖδα ἔτρεφεν, ὀνομάσας Πάριν. γενόμενος δὲ νεανίσκος καὶ πολλῶν διαφέρων κάλλει τε καὶ ῥώμῃ αὖθις Ἀλέξανδρος προσωνομάσθη, ληστὰς ἀμυνόμενος καὶ τοῖς ποιμνίοις ἀλεξήσας, ὅπερ ἐστὶ βοηθήσας. καὶ μετ' οὐ πολὺ τοὺς γονέας ἀνεῦρε.

Μετὰ τοῦτον ἐγέννησεν Ἑκάβη θυγατέρας μὲν Κρέουσαν, Λαοδίκην, Πολυξένην, Κασάνδραν, ᾗ συνελθεῖν βουλόμενος Ἀπόλλων τὴν μαντικὴν ὑπέσχετο διδάξειν. ἣ δὲ μαθοῦσα οὐ συνῆλθεν. ὅθεν Ἀπόλλων ἀφείλετο τῆς μαντικῆς αὐτῆς τὸ πείθειν. αὖθις δὲ παῖδας ἐγέννησε Δηίφοβον, Ἕλενον, Πάμμονα, Πολίτην, Τρωίλον. τοῦτον ἐξ Ἀπόλλωνος λέγεται γεγεννηκέναι.

Ἕκτωρ μὲν οὖν Ἀνδρομάχην τὴν Ἠετίωνος γαμεῖ, Ἀλέξανδρος δὲ Οἰνώνην. τοῦ Κεβρῆνος τοῦ ποταμοῦ θυγάτηρ αὕτη παρὰ Ῥέας τὴν μαντικὴν μαθοῦσα προέλεγεν Ἀλεξάνδρῳ μὴ πλεῖν ἐπὶ Ἑλένην. μὴ πείθουσα δὲ εἶπεν ἐὰν τρωθῇ παραγενέσθαι πρὸς αὐτήν, μόνην γὰρ θεραπεῦσαι δύνασθαι. τὴν δὲ Ἑλένην ἐκ Σπάρτης ἁρπάσαι, πολεμουμένης δὲ Τροίας τοξευθέντα ὑπὸ Φιλοκτήτου τόξοις Ἡρακλείοις πρὸς Οἰνώνην ἐπανελθεῖν εἰς Ἴδην. ἣ δὲ μνησικακοῦσα θεραπεύσειν οὐκ ἔφη. Ἀλέξανδρος μὲν οὖν εἰς Τροίαν κομιζόμενος ἐτελεύτα, Οἰνώνη δὲ μετανοήσασα τὰ πρὸς θεραπείαν φάρμακα ἔφερε, καὶ καταλαβοῦσα αὐτὸν νεκρὸν ἑαυτὴν ἀνήρτησεν.

2 ed. τῆς πατρ. γενέσθαι τὸν παῖδα ἀπώλειαν, ἐκθεῖναι τὸ βρέφος ἐκέλευσε 5 ed. κομίσοντι 6 ed. ὠνομάζετο. τὸ δὲ ἐκτεθὲν κτλ. 8 ed. ἀναιρεῖται καὶ κομίσας 12 cod. ὅπέρ ἐστι 15 cod. βουλλόμενος 17 cod. ἠφείλετο 18 cod. διίφοβον ἕλενον 19 ed. add. Πολίτην Ἄντιφον Ἱππόνοον Πολύδωρον Τρωίλον | cod. τρώιλον 21 Ap. III 12, 6 22 ed. Οἰνώνην τὴν — θυγατέρα. αὕτη 24 cod. ἐλένην 25 ed. μόνη γὰρ | ed. τὸν δὲ 28 ed. θεραπεῦσαι cod. sicut Hercher correxit

## Περὶ Ἀσκληπιοῦ.

Λεύκιππος ὁ Ἀφαρέως υἱὸς γεννᾷ θυγατέρα Ἱλάειραν καὶ Φοίβην. ταύτας ἁρπάσαντες ἔγημαν Διόσκουροι. πρὸς δὲ ταύταις Ἀρσινόην ἐγέννησε. ταύτῃ μίγνυται Ἀπόλλων ὁ θεός, ἣ δὲ Ἀσκληπιὸν γεννᾷ. τινὲς δὲ Ἀσκληπιὸν οὐκ ἐξ Ἀρσινόης τῆς Λευκίππου λέγουσιν, ἀλλ' ἐκ Κορώνιδος τῆς Φλεγύου ἐν Θεσσαλίᾳ. καί φασιν ἐρασθῆναι ταύτης Ἀπόλλωνα καὶ εὐθέως συνελθεῖν καὶ γεννῆσαι Ἀσκληπιόν. γεννηθέντα δὲ πρὸς Χείρωνα τὸν Κένταυρον ἤνεγκε, παρ' ᾧ καὶ τὴν ἰατρικὴν καὶ τὴν κυνηγετικὴν τρεφόμενος ἐδιδάχθη. καὶ γενόμενος χειρουργικὸς καὶ τὴν τέχνην ἀσκήσας ἐπὶ πολὺ οὐ μόνον ἐκώλυέ τινας ἀποθνήσκειν ἀλλὰ ἀνήγειρε καὶ τοὺς ἀποθανόντας· παρὰ γὰρ Ἀθηνᾶς λαβὼν τὸ ἐκ τῶν φλεβῶν τῆς Γοργόνος ῥυὲν αἷμα τῷ μὲν ἐκ τῶν ἀριστερῶν ῥυέντι πρὸς φθορὰν ἀνθρώπων ἐχρῆτο, τῷ δὲ ἐκ τῶν δεξιῶν πρὸς σωτηρίαν, καὶ διὰ τοῦτο τοὺς τεθνηκότας || ἀνήγειρεν. εὗρον δὲ τινας λεγομένους ἀναστῆναι f. 125a ὑπ' αὐτοῦ, Καπανέα καὶ Λυκοῦργον, ὡς δὲ Στησίχορός φησι Ἐριφύλῃ Ἱππόλυτον, ὡς δὲ ὁ τὰ Ναυπακτικὰ συγγράψας λέγει Τυνδάρεω(ν), ὥς φησι Πανύασις Ὑμέναιον, ὡς οἱ Ὀρφικοὶ λέγουσι Γλαῦκον τὸν Μίνωος. Ζεὺς δὲ φοβηθεὶς μὴ λαβόντες ἄνθρωποι θεραπείαν παρ' αὐτοῦ βοηθῶσιν ἀλλήλοις, ἐκεραύνωσεν αὐτόν. καὶ διὰ τοῦτο ὀργισθεὶς Ἀπόλλων κτείνει Κύκλωπας τοὺς τὸν κεραυνὸν Διὶ κατασκευάσαντας. Ζεὺς δὲ ἐμέλλησε ῥίπτειν αὐτὸν εἰς Τάρταρον. δεηθείσης δὲ Λητοῦς, ἐκέλευσεν αὐτὸν ἐνιαυτὸν ἀνδρὶ θητεῦσαι. ὃ δὲ παραγενόμενος εἰς Φερὰς πρὸς Ἄδμητον Φέρητος τούτῳ λατρεύων ἐποίμαινε καὶ τὰς θηλείας βόας πάσας διδυμοτόκους ἐποίησεν.

1 in marg. Περὶ ἀσκληπιοῦ, ὡς ὁ Ἀπόλλων Ἀρσινόῃ μιγεὶς τοῦτον γεννᾶ, καὶ περὶ τροφῆς καὶ παιδείας αὐτοῦ. Apollod. III 10, 3, 5 s. 2 cod. θυγατέραν ἰλάϊραν 3 cod. τούτοις 4 ὁ θεὸς deest ed. 6 ed. Κορωνίδος | cod. φλεγοῦ 8 ed. post συνελθεῖν haec continuant τοῦ δὲ παρὰ τὴν τοῦ πατρὸς γνώμην ἑλομένου Ἴσχυϊ τῷ Καινέως ἀδελφῷ συνοικεῖν. Ἀπόλλων δὲ τὸν μὲν ἀπαγγείλαντα κόρακα καταρᾶται, ὃς τέως λευκὸν ἐόντα ἐποίησε μέλανα, αὐτὴν δὲ ἀπέκτεινε. καιομένης δὲ αὐτῆς ἁρπάσας τὸ βρέφος ἐκ τῆς πυρᾶς πρὸς Χείρωνα 13 cod. γοργόνης | cod. τὸ 14 cod. ῥυὲν | cod. ἐχρῆτο. τὸ 15 cod. διατοῦτο 16 cod. θνηκότας 17 cod. στησίχωρος φησὶ 18 ἐριφύλ cum compendio | ed. ὡς ὁ 19 cod. Τυνδάρεω | cod. φησὶ πανίασις 20 post Μίνωος ed. add. ὡς Μελησαγόρας λέγει 21 ed. αὐτῶν 23 cod. κατασκευάσοντας 24 cod. ἐμέλησε 26 cod. φέρητος sine τὸν 27 ed. διδυματόκους

## Περὶ Κάδμου.

Κάδμος μετὰ τὸ θάψαι Τηλέφασσαν τὴν γυναῖκα αὐτοῦ ἔλαβε χρησμὸν ἐν Δελφοῖς χρῆσθαι καθοδηγῷ βοὶ καὶ πόλιν κτίζειν ἔνθα ἂν αὐτὴ πέσῃ καμοῦσα. τοιοῦτον λαβὼν χρησμὸν διὰ Φωκέων ἐπορεύετο. εἶτα βοὶ συντυχὼν ἐν τοῖς Πελάγοντος βουκολίοις ταύτῃ κατόπισθεν εἵπετο. ἣ δὲ διεξιοῦσα Βοιωτίαν κατεκλίθη ἐν ᾗ ἡ πόλις ἔνθα νῦν εἰσι Θῆβαι. βουλόμενος δὲ Ἀθηνᾷ καταθῦσαι τὴν βοῦν πέμπει τινὰ τῶν μεθ' ἑαυτοῦ ληψόμενον ἀπὸ τῆς Ἀρείας κρήνης ὕδωρ. φρουρῶν δὲ τὴν κρήνην δράκων, ὅν ἐξ Ἄρεως εἶπόν τινες γεγονέναι, τοὺς πλείονας τῶν πεμφθέντων διέφθειρεν. ἀγανακτήσας δὲ Κάδμος κτείνει τὸν δράκοντα καὶ τῆς Ἀθηνᾶς ὑποθεμένης τοὺς ὀδόντας αὐτοῦ σπείρει. τούτων δὲ σπαρέντων ἀνέτειλαν ἐκ γῆς ἄνδρες ἔνοπλοι, οὓς ἐκάλεσαν Σπαρτούς. οὗτοι δὲ ἀπέκτειναν ἀλλήλους, οἳ μὲν εἰς ἔριν ἀκούσιον ἐλθόντες, οἳ δὲ ἀλλήλους ἀγνοοῦντες. Φερεκύδης δέ φησιν ὅτι Κάδμος ἰδὼν ἐκ γῆς ἀναφυομένους ἄνδρας ἐνόπλους ἐπ' αὐτοὺς ἔβαλλε λίθους, οἳ δὲ ὑπ' ἀλλήλων νομίζοντες βάλλεσθαι εἰς μάχην κατέστησαν καὶ διεφθάρησαν. Κάδμον δὲ * * Ἀθηνᾶ αὐτῷ βασιλείαν κατεσκεύασε. Ζεὺς δὲ ἔδωκεν αὐτῷ γυναῖκα Ἁρμονίαν, Ἀφροδίτης καὶ Ἄρεως θυγατέρα. καὶ πάντες θεοὶ καταλιπόντες τὸν οὐρανὸν ἐν τῇ Καδμείᾳ τὸν γάμον εὐωχούμενοι ἦσαν * πέπλον καὶ τὸν ἡφαιστότευκτον ὅρμον, ὃν ὑπὸ Ἡφαίστου λέγουσί τινες δοθῆναι Κάδμῳ. γίνονται δὲ Κάδμῳ θυγατέρες μὲν Αὐτονόη, Ἰνώ, Σεμέλη, παῖδες δὲ Πολύδωρος *. Σεμέλης δὲ Ζεὺς ἐρασθεὶς Ἥρας κρύφα συνευνάζεται· ἣ δὲ ἐξαπατηθεῖσα ὑπὸ Ἥρας, κατανεύσαντος αὐτῇ Διὸς πᾶν τὸ αἰτηθὲν ποιήσειν, αἰτεῖται τοιοῦτον αὐτὸν ἐλθεῖν οἷος ἦλθε μνηστευόμενος Ἥραν. Ζεὺς δὲ μὴ δυνάμενος ἀνανεῦσαι παραγίνεται εἰς τὸν θάλαμον αὐτῆς ἐφ' ἅρματος ἀστραπαῖς ὁμοῦ καὶ βρονταῖς καὶ κεραυνὸν

2 Ap. III 4, 1 s. | cod. τηλεφάσσαν 6 cod. εἵπετο 7 cod. κατεκλήθη et εἰσὶ ed. ἐκλίθη πόλις ἔνθα νῦν εἰσι [lege ἐν πόαις] 8 cod. καταθύσαι 10 cod. τινὲς 16 cod. φησὶν 17 ed. ἔβαλε 18 ed. κατέστησαν. περιεσώθησαν δὲ — θητείαν Ἀθηνᾶ: post Κάδμον δὲ lacunam indicavi 22 ἦσαν] ed. καθύμνησαν | cod. ἦσαν πέπλον κτλ. ed. ἔδωκε δὲ αὐτῇ Κάδμος πέπλον κτλ. 23 cod. τινὲς 24 ed. post Κάδμῳ add. Φερεκύδης δὲ ὑπὸ Εὐρώπης, ὃν παρὰ Διὸς αὐτὴν λαβεῖν: an scholion? 25 post Σεμέλη ed. add. Ἀγαυή | post Πολύδωρος lacunam indicavi, in editis παῖς δὲ Πολύδωρος. Ἰνὼ μὲν οὖν Ἀθάμας ἔγημεν, Αὐτονόην δὲ Ἀρισταῖος, Ἀγαυὴν Ἐχίων. Σεμέλης δὲ 26 ab editis Ἥρας abest

ἴησι. Σεμέλης δὲ διὰ τὸν φόβον ἐκλιπούσης, ἑξαμηναῖον βρέφος ἐξαμβλωθὲν ἐκ τοῦ πυρὸς ἁρπάσας ἐνέρραψε τῷ μηρῷ. ἀποθανούσης δὲ Σεμέλης, αἱ λοιπαὶ Κάδμου θυγατέρες διήνεγκαν λόγον συνηυνῆσθαι θνητῷ τινὶ Σεμέλην καὶ καταψεύσασθαι Διὸς καὶ ἐκεραυνώθη διὰ τοῦτο. κατὰ δὲ τὸν χρόνον τὸν καθήκοντα Διόνυσον γεννᾷ Ζεὺς λύσας τὰ ῥάμματα καὶ δίδωσιν Ἑρμῇ. ὃ δὲ κομίζει πρὸς Ἰνὼ καὶ Ἀθάμαντα καὶ πείθει τρέφειν ὡς κόρην. ἀγανακτήσασα δὲ Ἥρα μανίαν αὐτοῖς ἐνέβαλε. καὶ Ἀθάμας μὲν τὸν πρεσβύτερον παῖδα Λέαρχον ὡς ἔλαφον θηρεύσας ἀπέκτεινεν. Ἰνὼ δὲ τὸν Μελικέρτην εἰς πεπυρωμένον λέβητα ῥίψασα, εἶτα βαστάσασα μετὰ νεκροῦ τοῦ παιδὸς ἥλατο κατὰ βυθοῦ. καὶ Λευκοθέα μὲν αὐτὴ καλεῖται * * Διόνυσον δὲ Ζεὺς εἰς ἔριφον ἀλλάξας τὸν Ἥρας θυμὸν ἔκλεψε καὶ λαβὼν αὐτὸν Ἑρμῆς πρὸς νύμφας ἐκόμισεν ἐν Νύσῃ κατοικούσας τῆς Ἀσίας.

## Περὶ Ἀκταίωνος καὶ ὡς ὑπὸ τῶν ἑαυτοῦ διεσπάσθη κυνῶν.

Αὐτονόης δὲ ⟨καὶ⟩ Ἀρισταίου παῖς Ἀκταίων ἐγένετο, ὃς τραφεὶς παρὰ Χείρωνι κυνηγὸς ἐδιδάχθη καὶ ἔπειτα ὕστερον ἐν τῷ Κιθαιρῶνι κατεβρώθη ὑπὸ τῶν ἰδίων κυνῶν καὶ τοῦτον ἐτελεύτησε τὸν τρόπον, ὡς μὲν οὖν Ἀκουσίλαος λέγει μηνίσαντος Διὸς ὅτι ἐμνηστεύσατο Σεμέλην, ὡς δὲ οἱ πλείονες, ὅτι τὴν Ἄρτεμιν λουομένην εἶδε γυμνήν. καὶ φασὶ τὴν θεὸν παραχρῆμα αὐτοῦ τὴν μορφὴν εἰς ἔλαφον ἀλλάξαι καὶ τοῖς ἑπομένοις αὐτῷ πεντήκοντα κυσὶν ἐμβαλεῖν λύσσαν, ὑφ᾽ ὧν κατὰ ἄγνοιαν ἐβρώθη. ἀπολομένου δὲ Ἀκταίωνος, οἱ κύνες ἐπιζητοῦντες τὸν δεσπότην κατωρύοντο. καὶ ζήτησιν ποιούμενοι παρεγένοντο ἐπὶ τὸ τοῦ Χείρωνος ἄντρον, ὃς εἴδωλον κατεσκεύασεν Ἀκταίωνος, ὃ καὶ τὴν λύπην αὐτῶν ἔπαυσε.

## Περὶ Ζήθου καὶ Ἀμφίονος.

Ἀντιόπη θυγάτηρ ἦν Νυκτέως. ταύτῃ Ζεὺς συνῆλθεν. ἣ δὲ ὡς ἔγκυος ἐγένετο, τοῦ πατρὸς ἀπειλοῦντος εἰς Σικυῶνα ἀποδιδράσκει πρὸς Ἐπωπέα καὶ τούτῳ γαμεῖται. Νυκτεὺς δὲ

1 cod. ἴησι 5 cod. διατοῦτο (ed. ante ἐκεραυνώθη) [fuitne δι᾽ ὃ καὶ?] 7 cod. ἰνῶ 10 cod. ἀπέκτεινε. ἰνῶ 12 cod. ἤλλατο | ed. βυθῶν | quo loco lacunam feci, ed. addunt Παλαίμων δὲ κτλ. 14 ed. τῆς Ἀσίας κατοικούσας ἃς ὕστερον Ζεὺς καταστερίσας ὠνόμασεν Ὑάδας 17 cod. δὲ Ἀρισταίου 18 ed. omittunt ἔπειτα et κατεβρώθη ponunt post ὕστερον 19 cod. κιθαρῶνι 21 ed. τοῦ Διός 22 ed. om. γυμνήν | cod. τὸν 25 cod. ἀπολλομένου | cod. κῦνες 30 Ap. III 5, 5, 5

ἀθυμήσας ἑαυτὸν φονεύει, δοὺς ἐντολὰς Λύκῳ παρὰ Ἐπωπέως καὶ παρὰ Ἀντιόπης λαβεῖν δίκας. ὃ δὲ στρατευσάμενος Σικυῶνα χειροῦται καὶ τὸν μὲν Ἐπωπέα κτείνει, τὴν δὲ Ἀντιόπην ἤγαγεν αἰχμάλωτον. ἣ δὲ ἀγομένη δύο γεννᾷ παῖδας ἐκ Διὸς ἐν Ἐλευθεραῖς τῆς Βοιωτίας, οὓς ἐκκειμένους εὑρὼν βουκόλος ἀνατρέφει καὶ τὸν μὲν καλεῖ Ζῆθον, τὸν δὲ Ἀμφίονα. Ζῆθος μὲν οὖν ἐπεμελεῖτο βουφορβίων, Ἀμφίων δὲ κιθαρῳδίαν ἤσκει, δόντος αὐτῷ λύραν Ἑρμοῦ. Ἀντιόπην δὲ ᾐκίζετο Λύκος καθείρξας καὶ ἡ τούτου γυνὴ Δίρκη. λαθοῦσα δέ ποτε, τῶν δεσμῶν αὐτομάτως λυθέντων, ἧκεν ἐπὶ τὴν τῶν παίδων ἔπαυλιν δεχθῆναι πρὸς αὐτῶν θέλουσα. οἳ δὲ ἀναγνωρισάμενοι τὴν μητέρα τὸν μὲν Λύκον κτείνουσι, τὴν δὲ Δίρκην δήσαντες ἐκ ταύρου ῥίπτουσι θανοῦσαν εἰς κρήνην τὴν ἀπ' ἐκείνης καλουμένην Δίρκην. παραλαβόντες δὲ τὴν δυναστείαν τὴν μὲν πόλιν ἐτείχισαν, ἐπακολουθησάντων τῇ Ἀμφίονος λύρᾳ τῶν λίθων, Λάϊον δὲ ἐξέβαλον. γαμεῖ δὲ Ζῆθος μὲν Θήβην, ἀφ' ἧς ἡ πόλις Θῆβαι, Ἀμφίων δὲ Νιόβην τὴν Ταντάλου, ἣ γεννᾷ παῖδας μὲν ἑπτά, θυγατέρας δὲ τὰς ἴσας.

1 ed. ἐντολὴν | cod. ἐπωπέου 2 cod. λαβὼν 4 ed. om. ἐκ Διὸς | cod. ἐνελευθέραις 10 cod. αὐτομάτων 13 ed. θανοῦσαν ῥίπτουσι 16 ante γαμεῖ ed. add. ὃ δὲ κτλ.

Petropoli Rossorum. A. Papadopulos-Kerameus.